μῆς ἐκείνων δόξης ἐφιέμε [illegible] νος ταῦτα ἔλεγεν·

993

τρέφει τὴν ἀνάστασιν· ἵνα δείξῃ· ὅτι ὁ δεξάμενος αὐτὸν
πιστεύων· οὐ καταφθαρεῖται εἰς τέλος· ἀληθῶς δὲ
βρῶσιν τὴν ἑαυτοῦ σάρκα λέγει· καὶ τὸ αἷμα αὐτοῦ
ἀληθῆ πόσιν· διασώζειν ταῖς ψυχαῖς τῶν μετα-
σχόντων αὐτῶν· τὸ δὲ ἦν εἰπεῖν αὐτόν· ὁ τρώγων
μου τὴν σάρκα καὶ πίνων μου τὸ αἷμα ἐν ἐμοὶ μέ-
νει κἀγὼ ἐν αὐτῷ, τοῦτο δηλοῖ σαφῶς· ὅτι ἐν αὐτῷ
ἀνακιρνᾶται· τὸ δὲ κἀγὼ ζῶ διὰ τὸν πατέρα· τοῦτό
ἐστιν· ὅτι καθὼς ἐστὶ ζῶν ὁ πατήρ· οὕτως κἀγὼ ζῶ· καὶ
ὁ τρώγων με, κἀκεῖνος ζήσεται δι᾽ ἐμέ· ζωὴν δὲ
λέγει ἐνταῦθα, οὐχ ἁπλῶς· ἀλλὰ περὶ τῆς ἐνδό-
ξου καὶ ἀπορρήτου ἐκείνης· συνεχῶς δὲ περι-
στρέφει τὸν περὶ τοῦ μάννα λόγον ἐν τῇ ἐρήμῳ
τὸ μάννα· καὶ τὰ ἑξῆς· ὥστε αὐτὸ ἐν τοσαύτῃ
τοὺς ἀκούοντας διανοίᾳ· πρὸς τὸ λογίζεσθαι ὅτι
εἰ δυνατὸν ἐγένετο ἐν τεσσαράκοντα ἔτεσιν· ἀμήτου
χωρὶς καὶ σίτου καὶ τῆς ἄλλης ἀκολουθίας· δια-
κρατῆσαι τὴν ἐκείνων ζωήν, πολλῷ μᾶλλον
νῦν· ἅτε μείζονος ἥκων παραγενόμενος· φησὶ
δὲ καὶ τοῦτο· ζωῆς δὲ πανταχοῦ μέμνηται· ἐπει-
δὴ τοῦτο ποθεινὸν αὐτοῖς· καὶ οὐδὲν οὕτως ἡδὺ
ὡς τὸ μὴ ἀποθανεῖν· ταῦτα εἶπεν ἐν συνα-
γωγῇ διδάσκων καὶ ἐν ἱερῷ· ὁ μὲν οὖν μὲν τὸ πλῆθος
αὐτὸν ἐθήρευσαν ἐθέλοντες· ὁ μὲν οὖν δὲ καὶ ὁ λιμὸς· ὁ
τοῦ λέγοντος αἴτιος ἐστὶ τοῦ περὶ δὲ αὐτοῦ δὲ τοιούτους
λόγους ἀρμόζοντας προέφερε· καὶ τοῖς δὲ μὴ δυναμένοις
ἐξ αὐτῶν οἰκοδομηθῆναι, μᾶλλον δὲ καὶ τοῖς
οἰκοδομηθεῖσι λυμαινομένων· πολλοὶ γάρ φησι
ἐκ τῶν μαθητῶν αὐτοῦ ἀκούσαντες εἶπον· σκληρός
ἐστιν οὗτος ὁ λόγος· καὶ τὰ ἑξῆς· τοῦτο τὸ χρῆσι-
μον καὶ τὸ ἀναγκαῖον· ἐπειδὴ γὰρ ἐδίδαξε

γὰρ ἀποσοβουμένου ἦν· ἀλλ' ἐπῄνεσεν· μετὰ δὲ
λέγειν [illegible] τῶν [illegible] ἀφαιροῦντος ἦν
[illegible]· καὶ ἅμα [illegible]· καὶ οὐ βουλομένου αἰδοῖ
[illegible] αὐτοῖς προσηρτῆσθαι· ἀλλ' ἅμα μετὰ τοῦ
χάριν [illegible]· ὅσα δὴ [illegible] φιλοτιμίας
καὶ φιλαδελφίας ὁ [illegible]· [illegible] ἀπο
λογεῖται τοῦ χρόνου· οὐ γὰρ [illegible] προτιμᾶ
ἀπελεύσομαι· καὶ ὅτι [illegible]
[illegible]· ἀλλ' [illegible] προσταγμα (?) ἀποδέξασθαι· καὶ
[illegible]· ἤδη γὰρ [illegible] ἅπασιν οὗτοι [illegible]
[illegible]· καὶ τὴν [illegible] ἅπασαν· διὸ οὐ [illegible]
[illegible] τοῦ χριστοῦ [illegible]· ἀλλ'
[illegible] καὶ [illegible]· καὶ [illegible]
[illegible]· καὶ γὰρ καὶ οὗτοι μετ' ἐ
κεῖνον [illegible]· καὶ [illegible]
[illegible]· [illegible] αὐτοῦ [illegible]
[illegible] ἐπειδὴ ἤκουσαν αὐτοῦ λέ
γοντος· ὅτι τὸν [illegible]
καὶ [illegible]· οὐκ [illegible]
[illegible] τοῦτο [illegible]· ἵνα
μὴ δόξῃ [illegible] αὐτοῖς [illegible]
[illegible] αὐτῶν· [illegible] τοῦ χοροῦ
τὸν Ἰούδαν· τοῦτο μὲν καὶ τὸ [illegible] τὸν ἕτερον
ὅτι καὶ ἡμεῖς [illegible]· [illegible]
κείνου αὐτοῖς [illegible]· τοῦτο δὲ
καὶ [illegible] τοῦ προδότου [illegible]
[illegible]· [illegible]· ὅτι οὐδὲν [illegible]· τὸ δὲ
αὐτοῦ [illegible]· καὶ οὔτε αὐτὸν φανερὸν [illegible]
[illegible]· ἵνα μὴ
[illegible]· καὶ φίλον [illegible]
τοῦτο δὲ· ἵνα [illegible]

ἀλλ' αὐτοὺς ἐκδιδόμενος. ἐκείνους δὲ τιμῶν, τοὺς μα-
θητὰς ἀποδέξηται. διὸ καὶ ἐπήγαγεν ὁ εὐαγγε-
λιστὴς λέγων· ᾔδει γὰρ ἐξ ἀρχῆς ὁ ἰς̄ τίνες
εἰσὶν οἱ μὴ πιστεύοντες. καὶ τὰ ἑξῆς. τὸ δὲ ἐξ ἀρ-
χῆς, οὐχ ἁπλῶς ἐνταῦθα πρόσκειται. ἀλλ' ἵνα
μάθωμεν αὐτοῦ τὴν πρὸ καταβολῆς κόσμου
πρόγνωσιν. ὅτι ᾔδει αὐτοὺς ἐκ τότε τὸν λόγον γογγυζομέ-
καὶ τὸ εὐσκανδάλιστον· εἶδε. καὶ τοῦ προδότου
τὴν πονηρίαν. ὅπερ ἦν ἀληθοῦς θεότητος ἔν-
δειξις. ὅταν δὲ ἀκούσωμεν. ὅτι ἔδωκεν ὁ πατὴρ.
μὴ ἀποκλήρωσιν τινὰ ἀπονομίσωμεν.
ἀλλ' εἰ ... πιστεύσωμεν. ὅτι ὁ παρασχὼν ἑαυτὸν
ἄξιον τοῦ λαβεῖν, αὐτὸς ἔλαβεν. τί δηλοῖ
ὅπερ φησὶν ὁ εὐαγγελιστής. ὅτι πολλοὶ τῶν μα-
θητῶν αὐτοῦ ἀπῆλθον εἰς τὰ ὀπίσω. ὅτι ἀποχ-
ωρήσαντες ... καὶ τοῦ διδασκάλου χωρίζον-
... ἀπολέσαντες. ἀλλ' οὐχ οἱ
δώδεκα τοῦτο ἔπαθον. αὐτὸς δὲ δηλοῖ ... ὅτι
οὐδὲ ἕτοιμος. οὐδὲ ... παρ' αὐτοὺς τούτων
τοὺς δώδεκα διακονίας. ... παρρησίας ...
πρὸς αὐτοὺς. μὴ καὶ ὑμεῖς θέλετε ὑπάγειν;
... αὐτοῖς οὐ ... οὐδὲ ...
ὁμολογουμένως τοὺς διδασκάλους ... ἀ[ξ]ιωματι-
κούς. ὁμοῦ δὲ δηλοῖ. ὅτι δι' αὐτοὺς μᾶλλον
... τοῦ τρόπου. ἡ μὲν γὰρ ...
... ἀναγκαῖον. μονάζοντες
αὐτοὺς χάριν ... τὸ δὲ δηλοῖ ὑμᾶς ...
μένοντας ... τῆς ἀκολουθήσεως
αὐτοὺς, ... μᾶλλον. χρὴ δὲ
σκοπεῖν ... πρὸς αὐτοὺς ...
... οὐ γὰρ ... ἀπολέσθαι. τοῦτο

μᾶσαι τὸ φίλαρχον αὐτῶν ἦθος. πῶς οὐκ αἰσχύνονται
λέγοντες ταῦτα· ἃ δοκεῖ τοῦ διδασκάλου φέρειν αἰσχύ-
νην· πολλὰ τοίνυν παραδραμὼν σημεῖα καὶ
θαύματα καὶ δημηγορίας. περὶ τῶν ἀδελφῶν
αὐτοῦ διαλέγεται· ὅτι εἶπον πρὸς αὐτόν· μετάβηθι
ἐντεῦθεν εἰς τὴν Ἰουδαίαν καὶ τὰ ἑξῆς. καὶ δεικνὺς μὲν
κἀρχὴ φίλαρχον εἶναι· πολλῆς δὲ πικρίας τὰ λεγόμενα
κἀνταῦθα γὰρ αὐτὸν καὶ δειλίας καὶ φιλοδοξίας
σκώπτουσιν· τὸ μὲν γὰρ εἰπεῖν οὐδεὶς ἐν κρυπτῷ
ποιεῖ, δειλίαν ἐγκαλούντων ἐστίν· ἅμα καὶ ὑπο-
πτευόντων τὰ γινόμενα ὡς οὐκ ἀληθῶς γινόμενα·
τὸ δὲ ζητεῖν ἐν φανερῷ εἶναι, φιλοδοξίαν· πόθεν
δὲ αὐτοῖς ἡ τοσαύτη ἀπιστία; ἀπὸ προαιρέσεως
καὶ φθόνου· τὸ γὰρ συγγενὲς ἔσωθεν· πῶς διαφθο-
νεῖσθαι· τινὰς δὲ ἐνταῦθα λέγουσι μαθητάς, τὸν
ὄχλον τὸν ἑπόμενον· οὗτοι ὡς δῆλον· αὐτὸς δὲ ὁ
φιλάνθρωπος· ὁ ἀνεξίκακος· προσηνῶς φθέγγεται· οὐ
γὰρ εἶπεν ὑμεῖς τίνες ἐστὲ συμβουλεύοντες ταῦτα
καὶ διδάσκοντες· ἀλλὰ τί φησιν· ὁ καιρὸς ὁ ἐμὸς οὔ-
πω πάρεστιν· τουτέστιν ὁ τοῦ σταυροῦ καὶ τοῦ θανάτου·
ὁ δὲ καιρὸς ὁ ὑμέτερος πάντοτέ ἐστιν ἕτοιμος· ὑμεῖς
φησὶν κἂν ἀεὶ σύνητε τοῖς Ἰουδαίοις. οὐ κἂν ἀναιρή-
σουσιν ὑμᾶς τὰ αὐτὰ ζηλοῦντας αὐτοῖς· ἐμὲ δὲ
εὐθέως ἐπιβουλεύσονται ἀνελεῖν· οὐ δύναται ὁ
κόσμος μισεῖν ὑμᾶς. διὰ τί; ὅτι τὰ αὐτὰ βουλόμενοι.
ἐμὲ δὲ μισεῖ ὅτι ἐλέγχω αὐτὸν ὅτι πονηρὰ αὐτοῦ
ἐστὶν τὰ ἔργα· ἐκ τούτων τῶν ῥημάτων δηλοῦσιν
ὅτι τοῦτο ἐποίει τὸ μῖσος τὸ πρὸς αὐτόν· ὁ ἔλεγχος ὁ μετὰ
παρρησίας γινόμενος· ἐπειδὴ τοῖς ἀδελφοῖς εἶπεν

ἐργάζηται τὸ τόλμημα· ἐκ τούτου δὲ καὶ τοῦτο
μανθάνομεν· ὅτι οὐκ ἀνάγκῃ καὶ βίᾳ ποιῶν
ζῶσθεν ἀγαθὸς ὢν ὁ θ(εό)ς· οὐδὲ κατ' ἐκλογὴν αὐτοῦ κακα-
κῆ τοὺς μέλλοντας ἐστιν· ἀλλὰ προτρεπτική·
διὸ φανερόν ἐστιν ὅτι ἐν τῇ γεννωμένῃ τῇ κώμῃ ἑβρα-
κεῖται ποσσοθῆναι καὶ ἀποθανεῖν· διατί οὐκ ἠ-
θελεν ἐν τῇ ἰουδαίᾳ περιπατεῖν ἀλλ' ἐν τῇ γα-
λιλαίᾳ· καὶ γὰρ ἦν δυνατὸν τοῖς ζητοῦντας αὐτὸν
καὶ ἀποκτεῖναι ἰουδαίοις καὶ διαλαθεῖν· ἐδύνα-
το μὲν πάντα ὡς θ(εό)ς· οὐκ ἠθέλησε δὲ ταῖς θεότη-
τος ἐπιδείκνυσθαι μόνον· ἀλλὰ καὶ ταῖς ἀν(θρω)-
πότητος· ὅθεν ποτὲ μὲν ἔφευγεν ὡς ἄν(θρωπ)ος· ποτὲ
δὲ ἐνεφαίνετο ὡς θ(εό)ς· ποτὲ γὰρ ἐν μέσοις ὢν τοῖς
ἐπιβουλεύουσι μὴ κατέχεσθαι· τὸ δὲ καταφρονεῖν τῶν
αὐτοῦ καὶ ἄμαχον ἐδήλου· ποτὲ δὲ ὑποστέλλεσθαι·
τὴν οἰκονομίαν ἐβεβαίου καὶ ἐπιστοῦτο· ἵνα μή-
τε παῦλος ὁ σαμοσατεὺς ἔχῃ τι λέγειν· μήτε μαρ-
κίων καὶ οἱ τὰ ἐκείνου νοσοῦντες· ἀμφοτέρους
ἐμφράττῃ τὰ στόματα· τί ποτ' οὖν ἐπει-
ἐν τοῖς πέντε μησίν· οὐδὲν ἡμῖν δηλοῖ κοινωνοῦ-
ἀλλὰ τὸ κατὰ τοὺς ἄρτους σημεῖον καὶ τὴν πρὸς
τοὺς φαγόντας γενομένην κατηγορίαν ἐπι-
... ἤγουν· ἦν δὲ ἐγγὺς ἡ ἑορτὴ τῶν ἰουδαί-
ων ἡ σκηνοπηγία· ὅτι γὰρ οὕτως ἐστὶν δῆλον
ἐκεῖθεν· ὅτε γὰρ ὁ χρόνος ἐκάθητο καὶ ἡ ἑορτή
φησὶν τοῦ πάσχα· ἐνταῦθα δὲ τῆς σκηνοπηγίας
μέμνηται· τί δήποτε οὖν τὰ ἐν μέσῳ παρέλιπε
θαύματα; ὅτι οὐκ ἐνὸν ἦν ἅπαντα καταλέγειν·
ἀλλ' ὡς οἶδε· καὶ ταῦτα λέγειν οἱ εὐαγγελισταὶ ἐσπού-
δακασιν· ἀνθρώπων ἡ μέμψις καὶ ἀντιλογία τίς παρ-
τῶν ἰουδαίων παρηκολούθησεν· ὁ θεὸς ἐζήτουν αὐτὸν

δοικέναι μὴ πάλιν ἐργάσηται τι τοιοῦτον· ἔλεγον
δέ· οἱ μὲν, ὅτι ἀγαθός ἐστιν· οἱ δὲ, οὔ· ἀλλὰ πλανᾷ
τὸν ὄχλον· ἐγὼ μὲν οὖν ὡς οἶμαι τὴν δό-
ξαν· τῶν πολλῶν εἶναι· ταύτην δὲ τῶν ἀρχόντων
καὶ τῶν ἰουδαίων· τὸ γὰρ λέγειν πλανᾷ τὸν ὄχλον,
τοῦτο δηλοῖ· ὅθεν δηλῶσαι τοῦτο σαφέστερον βουλό-
μενος ὁ εὐαγγελιστής, ἐπήγαγε λέγων· οὐδεὶς μέν-
τοι παρρησίᾳ ἐλάλει περὶ αὐτοῦ τῶν ἰουδαίων·
ὁρᾷς πανταχοῦ τὸ μὲν ἀρχικὸν διεφθαρμένον·
τοὺς δὲ ἀρχομένους ὑγιαίνοντας τῇ κρίσει, οὐκ ἔ-
κα' χοντας δὲ ἀνδρείαν προσήκουσαν· διατί με-
σούσης τῆς ἑορτῆς ἀνῆλθεν; ὥστε ἐπισχεῖν αὐτῶν
τὸν θυμόν· πρὸς τὸ μετὰ σχολῆς ἀκοῦσαι τῶν λεγομένων·
μηκέτι τῆς ὀργῆς ἐμφραττούσης τὰ ὦτα αὐτῶν·
προσεκτικωτέροις γὰρ αὐτοῖς ἡ ἀναμονὴ ἀπηρ-
γάσατο· διὸ ἄφνω παρόντι ἐκείνῳ πρὸς αὐτοῦ· οἵ τε
ἀγαθὸν λέγοντες περὶ αὐτοῦ, οἵ τε πονηρόν· οἱ μὲν
προσέχειν ἔμελλον τί καὶ θαυμάσαι· οἱ δὲ πρὸς τὸ ἐπι-
λαβέσθαι· καὶ τί μὲν ἐδίδαξεν οὐκ εἶπεν ὁ εὐαγγε-
λιστής· ὅτι δὲ θαυμαστῶς, τοῦτο μόνον λέγει· καὶ ὅτι
ἧλεν αὐτοὺς καὶ μετέβαλεν· οὕτως τοσαύτη τῶν
λεγομένων ἡ δύναμις· ἐθαύμαζον γάρ φησιν οἱ
ἰουδαῖοι λέγοντες· πῶς οὗτος γράμματα οἶδεν
μὴ μεμαθηκώς· καὶ τοῦτο δὲ αὐτὸ μετὰ πονη-
ρίας ἔλεγον· οὐ γὰρ εἶπον ὅτι τὴν διδασκαλίαν
ἐθαύμαζον ἢ ὅτι ἐλέγχοντο τὰ λεγόμενα· ἀλλ᾽ ὅτι
διηπόρουν πόθεν οἶδεν ταῦτα· ἐχρῆν γὰρ αὐτοὺς
συνιδεῖν ὅτι οὐδὲν ἀνθρώπινον ἦν ἐν αὐτῷ· διὸ
αὐτὸς ἀπεκρίθη καὶ εἶπεν αὐτοῖς· ἡ ἐμὴ διδαχὴ
οὐκ ἔστιν ἐμή· ἀλλὰ τοῦ πέμψαντός με· ὃ δὲ λέγει
τοιοῦτόν ἐστιν· οὐδὲν ἔχω παρηλλαγμένον ἢ καὶ

ἑορτὴν ἔλεγον· ὑμεῖς ἀνάβητε εἰς τὴν ἑορτὴν ταύ-
την, δηλῶν ὅτι οὐκ ἀναμίξει σὺν αὐτοῖς μέλλειν μὴ
βουλομένοις· αὐτὸς δὲ πῶς ἀνεκήρυξεν(?)· ἐγὼ
οὔπω ἀναβαίνω εἰς τὴν ἑορτὴν ταύτην· οὐκ εἶπεν
καθάπαξ οὐκ ἀναβαίνω· ἀλλὰ νῦν, τουτέστι μεθ' ὑ-
μῶν· τὸ δὲ ὁ καιρὸς ὁ ἐμὸς οὔπω πεπλήρωται δηλοῖ
ὅτι ἔδει καὶ σημεῖα γενέσθαι· καὶ δὴ κατηγορίας λε-
χθῆναι, ὥστε καὶ ὄχλους συναχθῆναι πλείονας· καὶ
τοὺς μαθητὰς ἀρρωστοτέρους γενέσθαι, τὴν παρρη-
σίαν ὁρῶντας τοῦ διδασκάλου· οὐκ ἀναβαίνω δὲ
μὲν αὐτοῖς ἀδελφοῖς μὴ βουλόμενος δῆλον ἑαυτὸν
καταστῆσαι καθὼς ἐκεῖνοι ἐβούλοντο· ἀλλὰ μᾶλ-
λον λαθραίως κατὰ τὸ ἐκφυγεῖν τὰ ἀπὸ Ἰουδαίων ἐπιβου-
λάς· καὶ δυνατὸς μὲν γὰρ καὶ φανερῶς ἀνελθεῖν
καὶ ἐς μέσον αὐτῶν στῆναι καὶ κατέχειν αὐτῶν τὴν
ὁρμὴν τὴν ἄτακτον· ὃ πολλάκις ἐποίησεν· ἀλλ'
οὐκ ἐβούλετο διηνεκῶς τοῦτο ποιεῖν, ἵνα μὴ ἐλεγχό-
μενος τὴν θεότητα ἀπογυμνώσῃ· ἀναβαίνει
δὲ ἵνα μὴ δειλίας ᾖ ἀναφορὰ(?) ὥσπερ ἐκεῖνοι τὸ μὴ ἀνι-
τίμως ἐμελέτησαν(?) ποιοῦντα αὐτὸν οἱ Ἰουδαῖοι, οὐκ ὀνό-
ματι ἔλεγον ποῦ ἐστιν· ἀλλ' ἐκεῖνος ὁ ... τοῦ πολ-
λοῦ μίσους καὶ τῆς ἀπεχθείας συνεχόμενοι· χρὴ
δὲ σκοπῆσαι ποίαν εἰς τὴν ἑορτὴν ἐπεδήμουν τό-
τε τὴν αἰδῶ· καὶ τὴν εὐλάβειαν· ἐν ταύτῃ γὰρ αὐτὸν
θηρεῦσαι ἐβούλοντο· τοιαῦτα ἦν αὐτῶν ἐν ταῖς
ἑορταῖς τὰ κατορθώματα· ὁ δὲ γογγυσμὸς
ἦν περὶ αὐτοῦ πολὺς ἐν τοῖς ὄχλοις, ἐπειδὴ καὶ ἀ-
πὸ τούτου, οἶμαι, παροξύνεσθαι αὐτοῖς· ἐν τῷ τὸ
σημεῖον τοῦ παραλυτικοῦ γενέσθαι, ὥστε καὶ δε-

ὁ νόμος, φησίν· οὐ φονεύσεις· ὑμεῖς δὲ φονεύετε· ἀφέντες
οὖν τὸ ἑαυτοὺς καταδικάζειν περὶ τούτου, ἐμοὶ ἐγκα-
λεῖτε, ὥσπερ ἀναιροῦντι τὸν νόμον· ὅτι ἐθεράπευ-
σα ἄνθρωπον ἐν σαββάτῳ· τὸ δὲ οὐδεὶς ζητεῖ, μέσον φασίν· ὅτι
πάντες αὐτὸν πρὸς ὃν διελέγετο ἐζήτουν ἀποκτεῖ-
ναι· καὶ αὐτὸς μὲν πράως τὴν φωνὴν διελέγετο· ἐκεῖ-
νοι δὲ μετὰ θράσους καὶ ὀργῆς, νομίζοντες διὰ τούτου
προκαταπλήττειν αὐτόν, ἀπεκρίναντο· δαιμόνιον
ἔχεις· τίς σε ζητεῖ ἀποκτεῖναι· αὐτὸς δὲ ἀφεὶς ἐλέγξαι
τοῦτο ὥστε μὴ ἀναισχυντοτέρους ποιῆσαι, πάλιν
τῆς ἀπολογίας ἅπτεται τῆς περὶ τοῦ σαββάτου·
ἀπὸ τοῦ νόμου συλλογιζόμενος αὐτοὺς καὶ λέγων·
ἓν ἔργον ἐποίησα, καὶ πάντες θαυμάζετε· τουτέστι
ταράττεσθε, θορυβεῖσθε. Μωϋσῆς δέδωκεν ὑμῖν
τὴν περιτομήν· οὐχ ὅτι ἐκ τοῦ Μωϋσέως ἐστίν· ἀλλ'
ἐκ τῶν πατέρων καὶ τὰ ἑξῆς· διατί οὖν φησιν οὐδ' ἐξ
ἐνεκάλεσεν Μωϋσῆς ἠκολούθη τῷ θεῷ κελεύοντι διὰ
τὴν περιτομὴν τὸ σάββατον λύεσθαι· δηλῶν
ὅτι ἴσως τοῦ σαββάτου ἡ περιτομὴ οὖσα κυριω-
τέρα· καίτοι οὐκ ἔστιν τοῦ νόμου ἡ περιτομή· ἀλλ'
ἐκ τῶν πατέρων ἐξ ὅσων ἀρχῆς ἐνεχθεῖσα τοῦ νόμου·
εἰ τοίνυν φησὶν ἐκεῖνος ἀνέχεται τοῦ οἰκονομεῖν
ἐν πολλῷ εἶναι κυριωτέραν· καὶ ταύτην οὐδὲ νο-
μικήν, ὑμεῖς οἱ νομοθέται, διατί ὑπὲρ τοῦ
μέτρου ἐκδικεῖτε τὸν νόμον καὶ δοκεῖτε νομο-
θετεῖν αὐτῷ· εἰ περιτομὴν λαμβάνει ἄνθρωπος
ἐν σαββάτῳ καὶ τὰ ἑξῆς· ἵνα μὴ φησὶν εἶναι λυμαίνεσθαι
τὸν νόμον· οὐκ ἄρα ἡ περιτομὴ κυριωτέρα ἦν;
ταῦτα δὲ ἐλέγχων ἐθέλων δεῖξαι, ὅτι μεῖζον ἔργον
ποιήσας τῆς περιτομῆς αὐτός· ὑγιῆ ἀποκαταστήσας
τὸν παράλυτον· οὐκ εἶπε δὲ φανερῶς αὐτοῖς τὴν

κατὰ πάσας φάσεις ἄλλη· ἀλλ' οὕτως καὶ ἐμὴ καὶ πατρός·
ὡς μὴ νομίζεσθαι ἕτερόν τι παρὰ τὸν πατέρα· ἀλλὰ
τὸ αὐτὸ ὅπερ ἂν ὁ πατήρ· τί δηλοῖ ὅπερ φησὶν
ἐάν τις θέλῃ τὸ θέλημα αὐτοῦ ποιεῖν; τουτέστιν ὁ ἐ-
ραστὴς τοῦ βίου τοῦ κατ' ἀρετήν, γνώσεται περὶ τῆς
διδαχῆς· ἐὰν θέλῃ φησὶν προσέχειν ὁ τοιοῦτος ταῖς
προφητείαις, γνώσεται περὶ τῶν λεγομένων πα-
ρ' ἐμοῦ· πότερον τὸ ἐμὸν ἢ τὸ ἕτερον· ἐάν τι κατ' αὐτὰς
λαλῶ ἢ ἀλλότριόν τι καὶ ξένον· τὸ γὰρ ἀπ' ἐμαυτοῦ
ἀντὶ τούτου κεῖται· ἐγὼ δέ φησιν οὐδὲν ἔξω τῶν τοῦ
πατρὸς δοκούντων λέγω· ἀλλὰ πάντα ἃ αὐτὸς βού-
λεται, ταῦτα λέγω· διὸ καὶ συλλογισμὸν ἐπήγαγεν
λέγων· ὁ ἀφ' ἑαυτοῦ λαλῶν, τὴν δόξαν τὴν ἰδίαν
ζητεῖ· καὶ τὰ ἑξῆς· ἀπὸ τῆς συνηθείας παιδεύων·
ὅτι βουλόμενός φησιν τινὰ ἰδίαν στῆσαι διδασκα-
λίαν, δι' οὐδὲν ἕτερον τοῦτο ποιεῖ· ἀλλ' ἵνα τὴν δόξαν
αὐτὸς καρπώσασθαι· ἐγὼ δὲ ἐγώ φησιν οὐ βούλομαι
καρπώσασθαι δόξαν· ἀλλὰ τὴν δόξαν τοῦ πέμψαν-
τός με ζητῶ· τίνος ἕνεκεν βουλοίμην ἂν ἕτερα
διδάσκειν· χρὴ δὲ σκοπῆσαι ὅτι τοῦ μὲν ταπεινὰ
φθέγγεσθαι αὐτόν, πολλαὶ εἰσὶν αἰτίαι· οἷον διὰ τὸ μὴ
ἀγέννητον νομίζεσθαι αὐτόν· διὰ τὸ μὴ ἀντί-
θεον· διὰ τὸ σάρκα περιβεβλῆσθαι· διὰ τὸ ἀσθε-
νὲς τῶν ἀκουόντων· διὰ τὸ διδάσκειν τοὺς ἀνθρώπους
μετριάζειν, καὶ μηδὲν περὶ ἑαυτῶν λέγειν μέγα·
τοῦ δὲ ὑψηλὰ φθέγγεσθαι, μίαν ἂν εὕροι τις αἰτίαν·
διὰ τὸ μέγεθος τῆς θείας φύσεως· ποίαν ἀκο-
λουθίαν ἔχει πρὸς τὰ πρότερα, ὅπερ ἦ περὶ νόμου· οὐ μωϋσῆς
δέδωκεν ὑμῖν τὸν νόμον· καὶ τὰ ἑξῆς· μεγάλην
μὲν οὖν· ἐπειδὴ γὰρ ἐνεκάλουν αὐτῷ ὅτι τὸ σάβ-
βατον ἔλυσεν· πρὸ τούτου ἰᾶται· ὥσπερ εἰ ἔλεγεν·

ὅπερ ἔμφασιν με· καὶ ὅτι οἴδατε ὅτι παρ' αὐτοῦ πρὸς
ἀπεστάλην ἢ καὶ ἐμὲ ἢ τοῦτο ἐδήλωσε λέγων· ὁ πέμψας
δὲ ὃν ὑμεῖς οὐκ οἴδατε. ἀγνοίαν ἐνταῦθα τὴν
διὰ τῶν ἔργων λέγει· καθὼς ὁ Παῦλος φησὶ· θεὸν
ὁμολογοῦσιν εἰδέναι· τοῖς δὲ ἔργοις ἀρνοῦνται·
οὐ γὰρ ἀγνοίας ἦν τὸ ἁμάρτημα· ἀλλὰ κακίας
καὶ πονηρᾶς γνώμης· τὸ δὲ παρ' αὐτοῦ εἰμι ἀπεσταλ-
μένος αὐτοῦ λέγει· τοῦτο δέ ἐστιν· οὐ παρέμπτω
μαθεῖν ἀλλότριος τούτου· θέλων δὲ δεῖξαι
αὐτοῖς ὁ εὐαγγελιστὴς· ὁ ὁρατὸς καὶ ἀπειλούμενος
ἐκείνους λέγοντας· ἐζήτουν οὖν αὐτὸν πιάσαι καὶ
ταῦτ' ἐζήτει· διὰ τί δὲ οὐκ ἴσχυσαν κατασχεῖν αὐτὸν
ἀοράτως· ἀλλ' ὅτι οὔπω ἐληλύθει ἡ ὥρα αὐτοῦ·
ἀνθρωπινώτερον διαλεγόμενος· διὰ τοῦτο φησὶ καὶ
λέγειν αὐτὸν συνεχῶς· τούτου ἕνεκεν τοιαῦτα
παρασπείρει· πόθεν ποιῶν σημεῖον λέγουσιν
οἱ δὲ αὐτὸν πιστεύσαντες ἐκ τοῦ ὄχλου· ὅτι ὁ χς
ὅταν ἔλθῃ μὴ πλείονα σημεῖα ποιήσει ὧν
οὗτος ἐποίησεν· καίτοι γε τρία διηγήσατο μόνα
ὁ εὐαγγελιστής· τὸ τοῦ οἴνου· καὶ τὸ τοῦ υἱοῦ τοῦ
βασιλικοῦ· καὶ τὸ τοῦ παραλυτικοῦ· ἀλλ' ἕτερα
περισσῶν ὡς προέφημεν παρέδραμον οἱ εὐαγγελισταί
πολλῶν ὄντων· καὶ μεγάλων· καὶ οἱ μὲν
ἄρχοντες ἐζήτουν αὐτὸν ἀνελεῖν· τὸ δὲ πλῆθος
μᾶλλον ἐπίστευεν εἰς αὐτόν· πλὴν οὐδὲ αὕτη
ὑγιὴς ἦν ἡ πίστις, ἀλλ' ὡς πλήθους χυδαίου·
τὸ γὰρ λέγειν ὅταν ἔλθῃ, οὐ σφόδρα πεπεισμένων
ἦν τοῦτον εἶναι τὸν χν· ἢ τοῦτο οὖν ἐστιν ἢ ἐκεῖνο
ὅτι κατὰ συνδρομὴν εἴρηται παρὰ τοῦ ὄχλου·
ὡς γὰρ τῶν ἀρχόντων ἀεὶ καὶ κακῶς ἐλεγχόντων
δεῖξαι οὐκ εἶναι αὐτὸν τὸν χν· οὗτοί φασιν· μὴ οὗτος

κρίσιν ἐστὶ κρεῖττον. διὰ δὲ τοῦ εἰπεῖν ὅλον ἄνθρωπον δεί-
κνυσι μερικὴν τυγχάνουσαν τὴν περιτομὴν
πρὸς τὴν τοῦ παραλυτικοῦ τελείαν γενομένην.
τὸ δὲ μὴ κρίνετε κατ' ὄψιν καὶ τὰ ἑξῆς. τοῦτο δηλοῖ·
μὴ ἐπειδή φησιν τὸν μωϋσῆν μείζονα μου ἡγοῦ-
μενοι νομίζετε. ἀπὸ τοῦ ἀξιώματος φέρετε τὴν ψῆφον·
ἀλλὰ ἀπὸ τῆς τῶν πραγμάτων φύσεως. τοῦτο
γάρ ἐστι δικαίως κρῖναι. τίνος ἕνεκεν πρόσκει-
ται τῶν ἱεροσολυμιτῶν. οἱ μὲν ὅτι ἔλεγον τινὲς
δὲ τῶν ἱεροσολυμιτῶν. οἱ μὲν ὅτι ἔλεγον τινὲς
εὐαγγελιστής, ὅτι οἱ μάλιστα τῶν μεγάλων ἀπο-
λελαυκότες σημείων. οὗτοι πάντων ἦσαν ἐλεεινό-
τεροι· οἱ τῆς θεότητος αὐτοῦ σημεῖον ἐναργέστατον
μέγιστον· τουτέστιν ὅτι τοὺς ἀπειλοῦντας αὐτὸν
καὶ ζητοῦντας ἀνελεῖν καὶ ἐγχειροῦντας αὐτὸν
τας [illegible] ἡσυχάζοντας. οὗτοι τὸ πᾶν τῇ
κρίσει τῶν ἀρχόντων ἐπέτρεπον λέγοντες. μή-
ποτε ἀληθῶς ἔγνωσαν οἱ ἄρχοντες ὅτι αὐτὸς
ἐστιν ὁ χριστός. καὶ [illegible] δεῖ ἐγνωκέναι.
αὐτοὶ δὲ τὴν ἐναντίαν ψῆφον ἐκφέρουσι. ταῦτα δὲ λέγον-
τες. ἀλλὰ τοῦτον οἴδαμεν πόθεν ἐστὶν καὶ τὰ
ἑξῆς. τί τῆς ἀνοίας κρίσεως ταύτης ἴσον γένοιτ' ἄν.
ὅτι γὰρ [illegible] ἐκ τῆς γραφῆς [illegible] ἔρχεσθαι τὸν
χριστόν. μὴ ὅλως λέγουσιν· ὅτι ὁ χριστὸς ὅταν ἔρχηται οὐδεὶς
γινώσκει πόθεν ἐστίν. καὶ [illegible] τὸ οἴδαμεν
[illegible] ἐστὶν [illegible] ἔλεγον. ἀλλ' ἢ ὅτι
[illegible] καὶ ὅτι τοῦτο
[illegible] λέγοντες. διὰ τοῦτο αὐτὸς ἀπ' [illegible] αὐτοῖς
[illegible] καὶ ἐμὲ οἴδατε [illegible] πόθεν
[illegible] καὶ ἀπ' ἐμαυτοῦ οὐκ ἐλήλυθα καὶ
τὰ ἑξῆς. τουτέστιν οὐκ ἐμὲ [illegible] ἀλλ' ὅτι [illegible]

διδάσκειν τοὺς ἕλληνας· τί δέ ἐστιν διασποράν·
οὕτω τὰ ἔθνη ἐκάλουν οἱ ἰουδαῖοι ὡς πανταχοῦ
διεσπαρμένα· διατί δὲ ἐπεσημήνατο ὁ εὐαγγελιστὴς
ὅτι ἐν τῇ ἐσχάτῃ ἡμέρᾳ τῇ μεγάλῃ· διὰ τὸ τὴν
πρώτην καὶ τὴν τελευταίαν μεγάλην εἶναι·
τὰς γὰρ μεταξὺ μᾶλλον εἰς τρυφὴν ἀνήλισκον· ἐν τῇ
ἐσχάτῃ δὲ ὁ χριστὸς διαλέγεται· ὅτι ἐν αὐτῇ πάντες ἦ-
σαν συγκεκροτημένοι· ἐν μὲν γὰρ τῇ πρώτῃ οὐ πα-
ρεγένετο· ἀλλ' οὐδὲ ἐν τῇ δευτέρᾳ οὐδὲ ἐν τῇ τρίτῃ·
ὥσπερ μὴ ἠσχολημένων ἀπελθεῖν τὰ λεγόμενα· μετὰ
λοιπὸν πάντων αὐτῶν τρυφᾶν· ἐν δὲ τῇ ἐσχάτῃ ὅτε ἀνε-
χώρουν οἴκαδε· ἐφόδια αὐτοῖς δίδωσιν τῆς σωτη-
ρίας· κράζει δέ· τοῦτο μὲν τὴν παρρησίαν ἐμφαί-
νων· τοῦτο δὲ διὰ τὸν πολὺν ὄχλον· τὸ δὲ ἐάν τις
διψᾷ· ἐρχέσθω πρός με καὶ πινέτω τοῦτο σημαίνει·
ὅτι οὐδένα ἀναγκάζω καὶ βίᾳ ἐφέλκομαι· ἀλλ' ἐάν τις
ἔχει προθυμίαν πολλήν· ἐάν τις ἐκκαίεται τῷ πό-
θῳ, τοῦτον ἐγὼ καλῶ· ὁ πιστεύων δέ, εἶπεν, ὁ πιστεύων εἰς
ἐμέ, καθὼς εἶπεν ἡ γραφή, ποταμοὶ ἐκ τῆς κοιλίας
αὐτοῦ ῥεύσουσιν ὕδατος ζῶντος· τοῦτο δηλοῖ· κοι-
λίαν μὲν ἐνταῦθα τὴν καρδίαν φησίν, καθάπερ
καὶ ἀλλαχοῦ γέγραπται· καὶ τὸν νόμον σου ἐν μέσῳ
τῆς κοιλίας μου· ποῦ δὲ εἶπεν ἡ γραφὴ ποταμοὶ
ἐκ τῆς κοιλίας αὐτοῦ ῥεύσουσιν· οὐδαμοῦ· πῶς οὖν
ἐστὶν ὁ πιστεύων εἰς ἐμέ, καθὼς εἶπεν ἡ γραφή· ἐν-
ταῦθα ὑποστικτέον· ἵνα ᾖ τὸ ποταμοὶ ἐκ τῆς κοι-
λίας αὐτοῦ ῥεύσουσιν· τῆς αὐτοῦ ἀποφάσεως· ἐπεὶ
δὴ γὰρ ἡ γραφὴ μαρτυρεῖ περὶ αὐτοῦ ὅτι υἱὸς θεοῦ ἐστιν
καὶ δημιουργὸς πάσης κτίσεως· καὶ συνάναρχος
τῷ πατρί· καὶ ὅτι μέλλει ἄνθρωπος γίνεσθαι· καὶ τὴν
οἰκουμένην ἐκ τῆς πλάνης λυτροῦσθαι· διὰ τοῦτο τῆς

ἐτόλμησαν ἐκεῖνοι· τίνος ἕνεκεν οὐχ οἱ φαρισαῖοι καὶ οἱ ἄρχοντες αὐτὸν ἐπίασαν· ἀλλὰ τοῖς ὑπηρέταις ἀπέστειλαν τοῦτο ποιῆσαι; ἐπειδὴ οὐκ ἐτόλμων ἐκεῖνοι· τὸν κίνδυνον ὑφορώμενοι δι' αὐτοῦ τοῖς διακονουμένοις ἐκδότους ἀπέστελλον· αὐτὸς δὲ ὁ μακρόθυμος. καὶ δυνάμενος ἐκκάμψαι καὶ φοβῆσαι, μᾶλλον ταπεινοφροσύνην ἐνδεικνύμενος ῥήματα φθέγγεται λέγων· ἔτι μικρὸν χρόνον μεθ' ὑμῶν εἰμι. ὁ δὲ λέγει τοιοῦτόν ἐστι· τί σπουδάζετε με ἀνελεῖν καὶ διῶξαι· μικρὸν ἀναμείνατε χρόνον καὶ οὐδὲ θέλοντας ὑμᾶς κατέχειν ἀπέρχομαι. Καὶ οὐκ εἶπεν ἁπλῶς ἐνταῦθα εἰμί· ἀλλὰ μεθ' ὑμῶν εἰμι· τουτέστι· κἂν διώκητε· κἂν ἐλαύνητε· οὐ παύσομαι τὰ πρὸς ὑμᾶς οἰκονομῶν καὶ τὰ πρὸς σωτηρίαν λέγων. τὸ δὲ ὑπάγω πρὸς τὸν πέμψαντά με· διὰ τοῦτο φησίν· ἵνα μή τις θάνατον κοινὸν νομίσῃ τὸ παρ' αὐτοῦ λεχθέν· ἔτι μικρὸν χρόνον· καὶ ὅτι οὐδὲν ἐνεργήσει μετὰ τὴν τελευτήν· τὸ δὲ ζητήσετέ με καὶ οὐχ εὑρήσετε· δηλοῖ ὅτι ἐν χρείᾳ αὐτοῦ καταστήσονται. ἐζήτησαν δὲ αὐτὸν πάντως τῆς πόλεως ἁλισκομένης· μεμνημένοι τῶν μετὰ τὸ πάθος αὐτοῦ· φησὶ δὲ καὶ ἄλλοι πολλοὶ ἐλθόντες μετὰ τὸ πάθος αὐτοῦ· τὸ δὲ ὅπου εἰμὶ ἐγὼ οὐ δύνασθε ὑμεῖς ἐλθεῖν· σημαίνει ὅτι οὐκ ἔμελλεν ἐν τῷ ἀπομένειν τῷ θανάτῳ· ἐκεῖ γὰρ πάντες ἡμεῖς ἀπερχόμεθα· ἔλεγον δὲ Ἰουδαῖοι πρὸς ἑαυτούς· ποῦ οὗτος μέλλει πορεύεσθαι καὶ τὰ ἑξῆς· ὑποχαλάσαντες τῆς ὀργῆς· καὶ τοῖς λεχθεῖσιν ὑπ' αὐτοῦ πιστεύσαντες οὐ· κἂν γὰρ φησὶν ἐπίστευσαν ἐζήτησαν πρὸς ἑαυτοὺς τίς ἐστιν ὁ λόγος. δείκνυσι δὲ τοῦτο καὶ ἐκ τοῦ μὴ ζητεῖν αὐτοῖς λυμαίνεσθαι· ἀλλὰ

πολλοὶ οὖν ἐκ τοῦ ὄχλου ἀκούσαντες τῶν λόγων ἔλεγον· οὗ-
τός ἐστιν ἀληθῶς ὁ προφήτης. ἄλλοι ἔλεγον· οὗτός
ἐστιν ὁ χριστός. ἄλλοι ἔλεγον· μὴ γὰρ ἐκ τῆς γαλιλαίας
ὁ χριστὸς ἔρχεται; οὐχὶ ἡ γραφὴ εἶπεν ὅτι ἐκ τοῦ σπέρ-
ματος δαυίδ, καὶ ἀπὸ βηθλεὲμ τῆς κώμης ὅπου
ἦν δαυὶδ ὁ χριστὸς ἔρχεται; σχίσμα οὖν ἐν τῷ ὄχλῳ ἐγέ-
νετο δι' αὐτόν· τινὲς δὲ ἤθελον ἐξ αὐτῶν πιάσαι
αὐτόν· ἀλλ' οὐδεὶς ἐπέβαλεν ἐπ' αὐτὸν τὰς χεῖρας.
ἐπεὶ γὰρ τὴν [illegible] εὐφροσύνης τῶν ῥημάτων αὐτοῦ. σχό
ἐπίστευσαν οὗτοι· οἱ δὲ τὴν ἀπιστίαν ἐνδυσάμενοι,
μαντες καὶ σφόδρα ἀπαίδευτα φθεγγόμενοι ἔλεγον·
μὴ γὰρ ἐκ τῆς γαλιλαίας ὁ χριστὸς ἔρχεται; καὶ τὰ ἑξῆς.
ἔλεγον γὰρ τοῦτο ὅπου ἠγνόουν· ὅτι ἀπὸ βηθλεὲμ
διὰ τὴν ἀνατροφὴν τὴν ἐν ναζαρέτ. ἄρα καὶ
τὸ γὰρ ὅμως ἠγνόουν ὅτι ἐξ οἴκου καὶ πατριᾶς
ἦν δαυὶδ ὁ θεὸς καὶ σχίσμα δ' ἐγένετο ἐν τῷ ὄχλῳ δι' αὐτόν.
διεσχίσθησαν δέ. καὶ οὐ κατενύγησαν. καθὼς
φησὶν ὁ προφήτης. τοιοῦτον γὰρ ἦν ἡ πονηρία.
οὐδενὶ βούλεται τὴν ψυχὴν μᾶλλον πρὸς ἔμελ-
λε τι μόνον· ὥσπερ τῶν ἐπιβουλευομένων ἀμελεῖν.
διὸ καὶ τινὲς φησὶν ἐξ αὐτῶν ἤθελον πιάσαι αὐτόν
καὶ τὰ ἑξῆς. βουλόμενοι αὐτὸν ἀνελεῖν· ὃ δὴ
σιεμμενων ἐγεγόνει τοῦτο τὸ κήρυγμα. ἀλλ' αὐτὸς
ἐπείχοντο. καὶ τῆς ὁρμῆς ἀπεσβέννυντο τῆς θείας
αὐτοὺς κατεχούσης δυνάμεως. ἦλθον οὖν κη´
οἱ ὑπηρέται πρὸς τοὺς ἀρχιερεῖς καὶ φαρισαίους.
καὶ εἶπον αὐτοῖς ἐκεῖνοι· διατί οὐκ ἠγάγετε αὐτόν;
ἀπεκρίθησαν οἱ ὑπηρέται· οὐδέποτε οὕτως ἐλά-
λησεν ἄνθρωπος. ὡς οὗτος ὁ ἄνθρωπος. χρὴ δὲ θαυμάσαι
τοὺς μὲν ὑπηρέτας τὴν σύνεσιν· τοὺς δὲ ἀρχι-
ερέας καὶ φαρισαίους τὴν ἄνοιαν· οἱ μὲν γὰρ

γραφὴ ἐμφαινομένου ὅτι οὗτος ὡς αὐτὴ λέγει
πιστεύων εἰς ἐμέ. ποταμοὶ ἐκ τῆς κοιλίας αὐτοῦ
ῥεύσουσιν. τὸ δαψιλὲς καὶ ἄφθονον τῆς χάριτος
αἰνιττόμενος. οὐ μὴν δὲ λέγει διὰ τὸ ἐνεργὲς ἡμᾶς
τοιαύτη γάρ ἐστιν ἡ τοῦ πνεύματος τῶν χαρισμάτων
ἐκχεομένη διαρκοῦσα ἐλθεῖν καὶ ὑδρευθῆναι· πάσης
πηγῆς μᾶλλον ἂν ἀναβλύζει καὶ οὐ διαλιμπάνει.
οὐδὲ ἵσταται. οὐδὲ κενοῦται. διὰ τοῦτο γὰρ καὶ οὐχ
ἕνα ποταμὸν ἐκάλεσεν. ἀλλὰ ποταμοὺς ἀφθό-
νους. τὸ ἂν ἐπιλείπειν τῆς χορηγίας δηλοῦν. καὶ
τὸ ἀνεκλιπὲς τῆς ἐνεργείας τοῦ πνεύματος ἁγίου
τῶν τε. ὡς σημαίνει τὸ ζῶν ὀνομαζόμενον. ἐπειδὴ τοῦτο
φησὶν περὶ τοῦ πνεύματος καὶ τοῦ ἐξῆς· τί δήποτε
οὔπω γὰρ ἦν πνεῦμα ἅγιον δεδομένον· καίτοι
τοὺς προφήτας πνεύματι ἁγίου δεδοκημένους
τοὺς ὁμολογεῖται. πῶς γὰρ ἂν προεφήτευσαν.
καὶ τὰ μυρία ἐργασάμενοι θαύματα ἄνευ τῆς αὐτοῦ
χάριτος. ὅτι δὲ ἦν αὕτη ἡ χάρις συναπελείπετο
τούτοις ὥσπερ. οὔπω γὰρ πνεῦμα ἅγιον δεδομένον. οὐ
καὶ γὰρ προφήτης παρ᾽ αὐτοῖς ἦν. οὐδὲ ἐν
αὐτοῖς ἦν τοῦ ἁγίου ἡ χάρις. ἐπεὶ οὖν ἀμέτα-
πειστον δαψιλῶς ἡ χάρις. τῆς δὲ τοιαύτης δια-
μονῆς ἡ ἀρχὴ μετὰ τὸν σταυρὸν ἐγένετο, διὰ τοῦτο
ἐστὶ γὰρ ὅτι οὐδέπω ἐδοξάσθη. δόξαν δὲ τὸν
σταυρὸν καλεῖ. χρὴ δὲ γινώσκειν ὅτι οἱ ἀπόστολοι
πρὸ τοῦ πάθους. οὐ πνεῦμα ἅγιον τὰς ἰάσεις ἐποίουν.
ἀλλ᾽ αὐτὴ παρὰ τοῦ Χριστοῦ ἐξουσία. ὅτε γὰρ αὐτοῖς
ἐνέτειλεν ἐκβάλλειν οἱ κουφίζοντες ἐπιτρέπειν τὸ τε
λέγειν. λάβετε πνεῦμα ἅγιον. καὶ πάλιν τῇ πεντη-
κοστῇ. καὶ τότε ἐν αὐτοῖς τὸ πνεῦμα τὸ ἅγιον. πολλοὶ

εἷς ὢν ἐξ αὐτῶν· μὴ ὁ νόμος ἡμῶν κρίνει τὸν ἄνθρωπον
ἐὰν μὴ ἀκούσῃ παρ' αὐτοῦ πρότερον· καὶ γνῷ
τί ποιεῖ; · Ἐπεσημήνατο δὲ ὁ εὐαγγελιστὴς
τὸ τοῦ Νικοδήμου ὄνομα, δεῖξαι θέλων· ὅτι οὐχ ὡς αὐτοὶ
ἐψεύσαντο, οὐδεὶς τῶν ἀρχόντων ἐπίστευσεν εἰς αὐτόν·
ἀλλ' ὅτι καὶ ἐξ αὐτῶν ἐπίστευσαν· ὧν εἷς ἦν ἄρχων ὁ
Νικόδημος· παρρησίαν μὲν γὰρ οὐδέπω τὴν προ-
σήκουσαν ἐπεδείκνυτο· πλὴν ἀντεποιεῖτο τοῦ Χριστοῦ·
Πῶς δὲ ὁ Νικόδημος· μὴ ὁ νόμος ἡμῶν κρίνει
τὸν ἄνθρωπον καὶ τὰ ἑξῆς· δείκνυσιν αὐτοῖς μὴ ἀναγι-
νώσκοντας τὸν νόμον· μηδὲ ποιοῦντας τὰ τοῦ νόμου·
εἰ γὰρ ἐκεῖνος μὲν μηδένα κελεύει ἀποκτέννυναι
ἄνθρωπον· μὴ πρότερον ἀκούσαντας· οὗτοι δὲ πρὶν ἀκοῦ-
σαι ἐπὶ τοῦτο ὥρμησαν· παρανομοῦσιν εἰς τὸν νόμον·
τὸ δὲ γνῷ τί ποιεῖ, τοῦτό ἐστιν· ὅτι οὐδὲ ἀκροάσεως
κε δεῖ ψιλῆς ἀλλὰ καὶ δικαίας κρίσεως · Ἀπεκρίθη-
σαν καὶ εἶπον αὐτῷ· μὴ καὶ σὺ ἐκ τῆς Γαλιλαίας εἶ;
ἐρεύνησον καὶ ἴδε ὅτι προφήτης ἐκ τῆς Γαλιλαίας
οὐκ ἐγήγερται· καὶ ἀπῆλθεν ἕκαστος εἰς τὸν οἶκον
αὐτοῦ· Ἰησοῦς δὲ ἐπορεύθη εἰς τὸ ὄρος τῶν ἐλαιῶν· ὄρθρου
δὲ πάλιν παρεγένετο εἰς τὸ ἱερόν· καὶ πᾶς ὁ λαὸς
ἤρχετο πρὸς αὐτόν· καὶ καθίσας ἐδίδασκεν αὐτούς·
ἄγουσιν δὲ οἱ γραμματεῖς καὶ οἱ Φαρισαῖοι πρὸς αὐτὸν
γυναῖκα ἐπὶ μοιχείᾳ κατειλημμένην· καὶ
στήσαντες αὐτὴν ἐν τῷ μέσῳ, εἶπον αὐτῷ πειράζοντες·
διδάσκαλε· ταύτην εὕρομεν ἐπ' αὐτοφώρῳ μοι-
χευομένην· ἐν δὲ τῷ νόμῳ ἡμῶν Μωσῆς ἐνετεί-
λατο τὰς τοιαύτας λιθοβολεῖσθαι· σὺ οὖν τί λέγεις
περὶ αὐτῆς· τοῦτο δὲ ἔλεγον πειράζοντες αὐτόν· ἵνα
ἔχωσιν κατηγορίαν κατ' αὐτοῦ· ὁ δὲ Ἰησοῦς κάτω κύψας
τῷ δακτύλῳ ἔγραφεν εἰς τὴν γῆν μὴ προσποιούμε-
νος·

καὶ ὑπηρετοῦντες ἦσαν σοφώτεροι· καὶ θαύματα
ὁρῶντες· καὶ γραφὰς ἀναγινώσκοντες, οὐδὲν ἀπώ
ναντο· ἀλλ' οἱ καὶ μᾶλλον ἐβλάβησαν· ἔλεγον γάρ·
διατί οὐκ ἠγάγετε αὐτόν; οἱ δὲ καὶ χωρὶς σημείων
ἀπὸ διδασκαλίας μόνης ἐπείσθησαν· οὐ γὰρ εἶπον οὐ
δέποτε ἐθαυματούργησεν οὕτως ἄνθρωπος· ἀλλὰ τί; οὐ
δέποτε ἐλάλησεν οὕτως ἄνθρωπος· διὸ μετὰ τῆς συνέσεως
αὐτῶν καὶ τὴν παρρησίαν χρὴ θαυμάσαι· ὅτι
πρὸς τοὺς ἀποστείλαντας αὐτούς, ταῦτα ἔλεγον· καὶ
φθονοῦντας κατ' αὐτοῦ· ὅταν γὰρ ὀρθὴ διάνοια ᾖ·
οὐδὲ μακρῶν λόγων δεῖ πρὸς τὸ πεισθῆναι τῇ ἀλη
θείᾳ· τούτους οὖν πάντες οἱ τοῖς ἄρχουσι παρεδρεύομε
νοι, μιμείσθωσαν· καὶ ἐφ' ὅσον ἂν δίκαια προστάττου
σιν, ὑπακουέτωσαν· κατὰ τὴν καὶ ἐπὶ
σαοὺλ ὅτε τοὺς ἱερεῖς τοῦ θεοῦ παρανομήσας ἀναιρε
θῆναι προσέταξεν, γέγονεν· καὶ γὰρ οἱ παρεστῶτες
κει αὐτὸ τοῦτο ποιῆσαι οὐκ ἐβουλήθησαν· ἀπεκρίθη
σαν οὖν αὐτοῖς οἱ φαρισαῖοι· μὴ καὶ ὑμεῖς πεπλάνησθε;
μή τις ἐκ τῶν ἀρχόντων ἐπίστευσεν εἰς αὐτὸν ἢ ἐκ
σχο τῶν φαρισαίων; ἀλλ' ὁ ὄχλος οὗτος ὁ μὴ γινώσκων
τὸν νόμον, ἐπικατάρατοί εἰσιν· διατί αὐτοῖς οὐ μέμφον
ται ἐχρῆν τοι· ἀλλὰ κολακευτικῶς λέγοντες·
μὴ καὶ ὑμεῖς πεπλάνησθε; δεδοικότες· μὴ τέλεον
ἀποσχισθῶσιν· συλλογίζονται δὲ αὐτοὺς ἀπό τε
κειμηρίου σφόδρα ἀνοήτου· μὴ γάρ φησιν ἐκ τῶν ἀρ
χόντων ἐπίστευσέν τις εἰς αὐτόν; ἢ ἐκ τῶν φαρισαί
ων; τοῦτο δὲ αὐτοῖς μὴ πιστεύσασιν ἐστὶν ἔγκλη
μα· οὗτοι χ̅ς̅· τὸν ὄχλον δὲ τὸν εἰς αὐτὸν πιστεύσαν
κει τα ἐπάρατον εἶναί φασιν· ἦσαν μᾶλλον αὐτοὶ κατάρας
ἄξιοι· λέγει γὰρ ἀμειβόμενος λέγει
νικόδημος πρὸς αὐτοὺς ὁ ἐλθὼν πρὸς τὸν ἰν̅ νυκτός.

οὐχ ἑνὸς τῶν προφητῶν ἐστίν. οὐδὲ Γαλιλαίας
μόνον. οὐδὲ Παλαιστίνης. οὐδὲ Ἰουδαίας. ἀλλὰ
παντὸς τοῦ κόσμου [illegible] τῆς. διὰ τοῦτο φησὶν
ἐγὼ φῶς εἰμι τοῦ κόσμου. [illegible] δὲ ὁ ἀκολουθῶν
ἐμοί. καὶ τὰ ἑξῆς. περὶ νοητοῦ φωτὸς καὶ σκό-
τους λέγει. τουτέστιν οὐ μενεῖ ἐν τῇ πλάνῃ ὁ τοιοῦ-
τος. ἀμαθὴς δέ. καὶ τὸν Νικόδημον ἐπαινεῖ καὶ τοὺς
ὑπηρέτας. ὡς παρρησιασαμένους. καὶ διὰ τοῦτο
ἐν τῷ φωτὶ ὄντας. αἰνίττεται δὲ καὶ τοὺς φαρι-
σαίους ὡς κρυφίους δόλους ἔχοντας
κεφ καὶ ἐν τῷ σκότει καὶ τῇ πλάνῃ ὄντας. εἶπον
οὖν αὐτῷ οἱ φαρισαῖοι· σὺ περὶ σαυτοῦ μαρτυρεῖς·
ἡ μαρτυρία σου οὐκ ἔστιν ἀληθής. ἀπεκρίθη ἰς
καὶ εἶπεν αὐτοῖς· κἂν ἐγὼ μαρτυρῶ περὶ ἐμαυτοῦ.
ἀληθής ἐστιν ἡ μαρτυρία μου. ὅτι οἶδα πόθεν ἦλθον.
καὶ ποῦ ὑπάγω. ὑμεῖς δὲ οὐκ οἴδατε πόθεν ἔρχομαι
σχο) ἢ ποῦ ὑπάγω. ἐπειδὴ εἶπον αὐτῷ σὺ περὶ σεαυ-
τοῦ μαρτυρεῖς. καὶ τὰ ἑξῆς. τὴν ἄγνοιαν ἑαυτῶν
δηλοῦσιν. ὅτι αὐτὸς μὲν ἄνω καὶ κάτω ταῖς γρα-
φαῖς. παρέπεμπεν αὐτούς· αὐτοὶ δὲ ὡς περὶ
ἑαυτοῦ μαρτυροῦντος. οὕτως διέκειντο. διὸ καὶ
αὐτὸς λοιπὸν αὐθεντικῶς φησὶ πρὸς αὐτούς·
κἂν ἐγὼ μαρτυρῶ περὶ ἐμαυτοῦ. ἡ μαρτυρία μου
ἀληθής ἐστι. διὰ τοῦτο δὲ φθέγγεται νῦν ἅπαντα
τραχύτερον. καὶ μετὰ πλείονος παρρησίας ἀπό τε
τῶν σημείων καὶ τῆς διδασκαλίας τῶν ἀκο-
λουθούντων τὴν μαρτυρίαν λαβών. τὸ πόθεν ἐξ-
[illegible] τὸ δὲ οἶδα πόθεν ἦλθον. καὶ ποῦ
ὑπάγω, τοῦτο σημαίνει· οἶδα παρὰ τίνος ἀπο-

ὡς δὲ ἐπέμενον ἐρωτῶντες αὐτόν. ἀνακύψας
εἶπεν αὐτοῖς· ὁ ἀναμάρτητος ὑμῶν πρῶτος ἐπ' αὐ-
τὴν βαλέτω τὸν λίθον. καὶ πάλιν κάτω κύψας ἔγρα-
φεν εἰς τὴν γῆν. οἱ δὲ ἀκούσαντες καὶ ὑπὸ τῆς συ-
νειδήσεως ἐλεγχόμενοι ἐξήρχοντο εἷς καθ' εἷς.
ἀρξάμενοι ἀπὸ τῶν πρεσβυτέρων ἕως τῶν ἐσχά-
των· καὶ κατελείφθη ὁ Ἰς μόνος καὶ ἡ γυνὴ ἐν
μέσῳ οὖσα. ἀνακύψας δὲ ὁ Ἰς καὶ μηδένα θεασά-
μενος πλὴν τῆς γυναικός, εἶπεν αὐτῇ· γύναι
ποῦ εἰσιν ἐκεῖνοι οἱ κατήγοροί σου; οὐδείς σε κα-
τέκρινεν; ἡ δὲ εἶπεν· οὐδεὶς κε. εἶπεν δὲ αὐτῇ
ὁ Ἰς· οὐδὲ ἐγώ σε κατακρίνω· πορεύου καὶ ἀπὸ
σχο τοῦ νῦν μηκέτι ἁμάρτανε. ἀπορηθέντες δὲ
ἐκεῖνοι, ἀγροικότερον καὶ θυμικώτερον κέχρην-
ται τῇ ἀποκρίσει λέγοντες· μὴ καὶ σὺ ἐκ τῆς Γα-
λιλαίας εἶ; ποία γὰρ ἀκολουθία ἦν ἐκ τούτου
πρὸς ὅπερ εἶπεν ἐκεῖνος; ἔδει γὰρ ἦν δεῖξαι
αὐτοῖς ὅτι οὐκ ἀκρίτως ἐστὶν ψῆφον αὐτοῦ κατα-
σοντες. εἶτα δὲ καὶ ὑβριστικῶς· ὡς οὐκ εἰδότι περὶ
τῶν γραφῶν οὐδέν, λέγουσιν πρὸς αὐτὸν ἐρεύνη-
σον καὶ ἴδε· ὡς ἂν εἴποι τις [illegible] μάθε ὅτι
ἐκ τῆς Γαλιλαίας προφήτης οὐκ ἐγήγερται.
τί γὰρ; εἶπεν ὁ ἀνὴρ ὅτι προφήτης ἐστίν; εἶπεν
λα κεε ὅτι ἀκρίτως ἀναιρεθῆναι οὐ δεῖ. πάλιν οὖν
αὐτοῖς ὁ Ἰς ἐλάλησεν λέγων· ἐγώ εἰμι τὸ φῶς τοῦ
κόσμου· ὁ ἀκολουθῶν ἐμοὶ οὐ μὴ περιπατήσῃ
ἐν τῇ σκοτίᾳ, ἀλλ' ἕξει τὸ φῶς τῆς ζωῆς. τίνος
σχο ἕνεκεν ὁ Χς εἶπεν αὐτοῖς· ἐγώ εἰμι τὸ φῶς τοῦ κόσμου;
διὰ τὸ ἄρτι καὶ κάτω περὶ τῆς Γαλιλαίας λαλ-
αὐτοῖς. καὶ προφήτην ἀποκαλεῖν. ἀπαλλάττω-
[illegible] ταύτης τῆς ὑποψίας. καὶ δηλῶν ὅτι

τῷ ὑμετέρῳ γέγραπται· ὅτι δύο ἀνθρώπων ἡ μαρτυρία
ἀληθής ἐστιν. ἡ μὲν οὖν λέξις τὸ ὁμοούσιον αὐτοῦ τε
καὶ τοῦ πατρός· οὐκ ἐν τούτῳ δὲ μόνον, ἀλλὰ καὶ δι' οὗ ἐπή-
γαγεν, τὸ ὁμοούσιον ἐμφαίνει σαφῶς· φησὶν γάρ·
ἐγώ εἰμι ὁ μαρτυρῶν περὶ ἐμαυτοῦ· καὶ μαρτυρεῖ
περὶ ἐμοῦ ὁ πέμψας με πατήρ· οὐκ ἂν γὰρ ἐλάτ-
τονος οὐσίας ὤν, πρὸς τὸν ἑαυτοῦ ἐπῆγε τοῦ πατρός·
κε ἔλεγον οὖν αὐτῷ· ποῦ ἐστιν ὁ πατήρ σου; ἀπεκρίθη ὁ Ἰησοῦς
καὶ εἶπεν· οὔτε ἐμὲ οἴδατε, οὔτε τὸν πατέρα μου· εἰ ἐμὲ
ιχ ᾔδειτε, καὶ τὸν πατέρα μου ᾔδειτε ἄν. ἐρωτησάντων
δὲ αὐτόν· ποῦ ἐστιν ὁ πατήρ σου, ἐπειδὴ δῆλον ὅτι ἔλεγον
τοῦτο καὶ πειράζοντες αὐτόν, οὐδὲ ἀποκρίσεως αὐτοὺς
προσηκούσης ἀξιοῖ· ἀλλά φησιν· οὔτε ἐμὲ οἴδατε, οὔτε
τὸν πατέρα μου· καὶ τὰ ἑξῆς· δεικνὺς ἐντεῦθεν ὅτι οὐ-
δὲν ὠφελοῦνται, τὸν μὲν λέγοντες εἰδέναι πατέρα· αὐτὸν
οὐκ εἰδότες· καὶ ἐπειδὴ ἀφιέντες αὐτὸν ἀεὶ τὸν πατέρα
ἐζήτουν μαθεῖν· διὰ τοῦτο λέγει· οὐ δύνασθε εἰδέναι
τὸν πατέρα χωρὶς ἐμοῦ· καὶ γὰρ ἐμὲ ᾔδειτε, φησίν,
καὶ τὸν πατέρα μου ᾔδειτε ἄν· ὥστε οἱ τὸν υἱὸν βλασφη-
μοῦντες, οὐ κατ' αὐτοῦ βλασφημοῦσι μόνον· ἀλλὰ
καὶ τοῦ γεγεννηκότος. ταῦτα τὰ ῥήματα ἐλάλη-
σεν ὁ Ἰησοῦς ἐν τῷ γαζοφυλακίῳ, διδάσκων ἐν τῷ ἱερῷ·
καὶ οὐδεὶς ἐπίασεν αὐτόν, ὅτι οὔπω ἐληλύθει ἡ ὥρα
αὐτοῦ. εἶπεν οὖν πάλιν αὐτοῖς ὁ Ἰησοῦς· ἐγὼ ὑπάγω καὶ
ζητήσετέ με· καὶ ἐν τῇ ἁμαρτίᾳ ὑμῶν ἀποθα-
νεῖσθε· ὅπου ἐγὼ ὑπάγω, ὑμεῖς οὐ δύνασθε ἐλθεῖν.
τὸ δὲ οὔπω ἐληλύθει ἡ ὥρα αὐτοῦ, τοῦτό ἐστιν, ὅτι
οὐδέπω καιρὸς ἦν ἐπιτήδειος, καθ' ὃν ἠθέλησε
σταυρωθῆναι· ὥστε καὶ τότε, οὐ τῆς αὐτῶν δυνά-
μεως ἔργον γέγονεν, ἀλλὰ τῆς οἰκονομίας τῆς
ἑαυτοῦ. αὐτοὶ μὲν γάρ, καὶ πάλαι ἐβούλοντο

ται μαι· καὶ πρὸς τίνα ἀπέρχομαι· ὅπερ αὐτοῦ οὐκ ἂν ἔφη ὁ πορνι-
ψεύδους· ἐκεῖ ἐπὶ τὸν τέκνον(?)· καὶ ἐκεῖ ἐστιν ἀπὸ τοῦ πρὸς
τὸν ἀληθινὸν θεόν· ὑμεῖς δὲ φησὶν οὐκ οἴδατε πόθεν
ἔρχομαι· ἢ ποῦ ὑπάγω· ἐθελοκακοῦντες γάρ· καὶ
πρὸς τούτοις οὕτω μὴ εἰδέναι· τὸ δὲ ὑμεῖς κατὰ
τὴν σάρκα κρίνετε· τοῦτο δηλοῖ· τὸ ἀδίκως κρί-
νειν· καθάπερ καὶ τὸ κατὰ σάρκα ζῆν, τὸ φαύ-
λως ζῆν ἐστιν· ὑμεῖς κατὰ τὴν σάρκα κρίνε- κε
τε· ἐγὼ οὐ κρίνω οὐδένα· καὶ ἐὰν κρίνω δὲ ἐγώ,
ἡ κρίσις ἡ ἐμὴ ἀληθής ἐστιν· ὅτι μόνος οὐκ εἰμί· σχό
ἀλλ' ἐγὼ καὶ ὁ πέμψας με πατήρ· καὶ ἐν τῷ νόμῳ
δὲ τῷ ὑμετέρῳ γέγραπται ὅτι δύο ἀνθρώπων ἡ μαρ-
τυρία ἀληθής ἐστιν· ἐγώ εἰμι ὁ μαρτυρῶν περὶ
ἐμαυτοῦ· καὶ μαρτυρεῖ περὶ ἐμοῦ ὁ πέμψας με
σχό πατήρ· κατὰ ἄλλα χωρία(?) φησὶν ὅτι ὁ πατὴρ οὐ κρί-
νει οὐδένα· ἀλλὰ πᾶσαν τὴν κρίσιν δέδωκε
τῷ υἱῷ· νῦν ἐνταῦθα φησίν· ἐγὼ οὐ κρίνω οὐδένα·
ὅτι τοῦτο οὐ περὶ τοῦ μέλλοντος καιροῦ· ἀλλὰ
περὶ τοῦ παρόντος λέγει· ὅτε γὰρ μέλλομεν, ἐκεῖνος
ἐστὶν τῆς κρίσεως· τὸ δὲ ἐὰν ἐγὼ κρίνω, ἡ κρίσις
ἡ ἐμὴ ἀληθής ἐστιν· τοῦτο σημαίνει· ὅτι [illegible]
ἀληθινὴ καὶ ἐγὼ ἂν κρίνω· ὑμεῖς ἂν τοὺς καταδε-
δικασμένους [illegible]· ἠνίξατο δέ· καὶ περὶ τῆς
μελλούσης κρίσεως εἰπὼν δὲ ὅτι μόνος οὐκ εἰμί
ἀλλ' ἐγώ· καὶ ὁ πέμψας με πατήρ· τοῦτο δηλοῖ(?)·
ὅτι οὐκ ἐγὼ μόνος καταδικάσω ὑμᾶς· ἀλλὰ καὶ
ὁ πατήρ· οὐκ ἄλλον γὰρ ἄλλος ἐκρίνεν ἢ ὁ πατὴρ κρίνων·
[illegible] ἐγὼ οὐδὲ ἐγώ [illegible] ὁ πατήρ· διὸ οὐδὲν δὲ
ἑτέρως ἑρμηνεύει τοῦτο· ὅτι καὶ ἐν τῷ νόμῳ δὲ

ὑμῶν · ἐὰν γὰρ μὴ πιστεύσητε ὅτι ἐγώ εἰμι, ἀπο-

μ κγ ι θανεῖσθε ἐν ταῖς ἁμαρτίαις ὑμῶν · ἔλεγον οὖν αὐτῷ

σὺ τίς εἶ ·

σχο ἐπειδὴ ἦλθεν ἵνα ἄρῃ τὴν ἁμαρτίαν τοῦ κόσμου· ἀδύνατον δὲ αὐτὴν ἀπολύσασθαι οὐκ ἔνι· εἰ μὴ διὰ τοῦ λουτροῦ τοῦ βαπτίσματος· ἀνάγκη τοὺς μὴ πιστεύοντας · ἔχοντας τὸν παλαιὸν ἄνθρωπον ἀποθανεῖν· ὀφείλοντας δοῦναι ἐκεῖ εὐθύνας τῶν ἡμαρτημένων· τοῦτο οὖν ἐστιν ἐν ταῖς ἁμαρτίαις ἀποθανεῖν· ἐρωτῶσι δέ · σὺ τίς εἶ· ἀπὸ πολλῆς ἀνοίας· διότι μετὰ χρόνον τοσοῦτον· καὶ σημεῖα καὶ διδασκαλίαν, τοῦτο ἐποίουν ·

μ κδ ι καὶ εἶπεν αὐτοῖς ὁ ἰς̄· τὴν ἀρχὴν ὅ τι καὶ λαλῶ ὑμῖν· πολλὰ ἔχω περὶ ὑμῶν λαλεῖν καὶ κρίνειν· ἀλλ' ὁ πέμψας με ἀληθής ἐστιν· κἀγὼ ἃ ἤκουσα παρ' αὐτοῦ, ταῦτα λαλῶ εἰς τὸν κόσμον· οὐκ ἔγνωσαν ὅτι τὸν πατέρα αὐτοῖς ἔλεγεν ·

σχο ὁ δὲ λέγει τοιοῦτόν ἐστιν· τοῦ ὅλως ἀκούειν τοὺς λόγους τοὺς παρ' ἐμοῦ ἀνάξιοί ἐστε· μήτι γε καὶ μαθεῖν ὅστις ἐγώ εἰμι· ὑμεῖς γὰρ πάντα πειράζοντες φθέγγεσθε · ἵνα δὲ μὴ νομίσητε ὅτι τὸ ταῦτα ἀκούειν παρ' ἐμοῦ· δι' ἀσθένειαν οὐκ ἐλέγξαι ἔρχομαι· ἢ ὅτι οὐκ οἶδα ὑμῶν τὰς διανοίας καὶ τὰς χλευασίας, ἰδοὺ λέγω ὑμῖν ὅτι δύναμαι ὑμᾶς ἐλέγξαι· οὐκ ἐλέγξαι δὲ μόνον, ἀλλὰ καὶ κολάσαι· τοῦτο γάρ ἐστιν λαλεῖν καὶ κρίνειν· τὸ δὲ ταῦτα λαλῶ εἰς τὸν κόσμον, δηλοῖ σαφῶς ἐξερχόμενον λοιπὸν ἑαυτὸν εἰς τὰ ἔθνη· καὶ ἐν τούτῳ δὲ ἔδειξεν αὐτῶν ὁ εὐαγγελιστὴς τὴν ἄνοιαν· ἐν τῷ εἰπεῖν οὐκ ἔγνωσαν ὅτι τὸν πατέρα αὐτοῖς ἔλεγεν τὸν θν̄· διότι οὐ διέλειπεν αὐτοῖς περὶ αὐτοῦ διαλεγόμενος· καὶ οὐκ ἐγίνωσκον δέ ·

μ κε ι εἶπεν οὖν αὐτοῖς πάλιν ὁ ἰς̄·

ἀποκτεῖναι αὐτόν· οὐκ ἴσχυον δὲ αὐτοῦ μὴ βουλο-
μένου· οὔτοι ἡμῖν οὐδὲ ὅτε ἴσχυσαν· ἀλλ' ἑκὼν αὐτὸς συ-
νεχώρησεν· διατί δὲ [illegible] ἐγὼ ὑπάγω· καὶ
ζητήσετέ με· καὶ ταράσσων αὐτῶν τὰς ψυχὰς καὶ
φοβῶν αὐτούς· καὶ γὰρ ἀνελεῖν αὐτὸν βουλόμενοι
ἵνα ἀπαλλαγῶσιν αὐτοῦ, ζητήσουσιν ποῦ ὑπάγει·
οὕτως μεγάλα περὶ τοῦ πράγματος ἐφαντάζοντο·
κει ἔλεγον οὖν οἱ Ἰουδαῖοι μήτι ἀποκτενεῖ ἑαυτόν·
ὅτι λέγει ὅπου ἐγὼ ὑπάγω ὑμεῖς οὐ δύνασθε ἐλθεῖν·
καὶ ἔλεγεν αὐτοῖς· ὑμεῖς ἐκ τῶν κάτω ἐστέ· ἐγὼ ἐκ
τῶν ἄνω εἰμί· ὑμεῖς ἐκ τοῦ κόσμου τούτου ἐστέ·
ἐγὼ οὐκ εἰμὶ ἐκ τοῦ κόσμου τούτου· εἶπον οὖν ὑμῖν
ὅτι ἀποθανεῖσθε ἐν ταῖς ἁμαρτίαις ὑμῶν·
σχολ ἐκείνων δὲ λεγόντων μήτι ἀποκτενεῖ ἑαυτὸν καὶ
τοῦ ζῆν· αὐτὸς ἀναιρῶν αὐτῶν τὴν ὑποψίαν
φησίν· ὑμεῖς ἐκ τῶν κάτω ἐστέ· ἐγὼ ἐκ τῶν ἄνω
εἰμί· ὁ δὲ λέγει τοιοῦτόν ἐστιν· οὐδὲν θαυμαστὸν ὑμᾶς
τοιαῦτα ἐννοεῖν ἀνθρώπους σαρκικοὺς ὄντας· καὶ οὐ-
δὲν πνευματικὸν λογιζομένους· οὐ γὰρ ἐγὼ τὸ τοιοῦτον
ὀλέθριον καὶ χαλεπὸν καὶ πολλῶν κολάσεων
ἄξιον ἁμάρτημα, τὸ ἑαυτὸν ἀποκτεῖναι [illegible]
ζομαι· ἀποθανεῖν γὰρ [illegible] ὁ θεὸς καὶ τὸ ἐπαγόμενον
τῆς αὐτῆς ἔχεται ἐννοίας· φησὶν γὰρ ὑμεῖς ἐκ
τοῦ κόσμου τούτου ἐστέ· τουτέστιν τὰς κοσμικὰς ἐν-
νοίας καὶ σαρκικὰς κέκτησθε· ἐγὼ δὲ ἐκ τοῦ κόσ-
μου τούτου οὐκ εἰμί· καὶ γὰρ πόρρω τῆς ὑμῶν
πονηρίας εἰμί φησιν· καὶ ὥσπερ τοῖς μαθηταῖς
εἴρηκεν μὴ εἶναι ἐκ τοῦ κόσμου, φιλοσοφίαν αὐτοῖς
μαρτυρῶν· οὕτως καὶ περὶ ἑαυτοῦ φησιν· ὅτι οὐκ
εἰμὶ ἐκ τοῦ κόσμου· οὐχ ὡς μὴ ἀνειληφὼς σάρ-
κα τοῦτό φησιν· ἀλλ' ὡς διὰ τὸ πάσης κακίας ἐκτὸς

μὲν οὖν οὐχ ὡς ἐχρῆν δέ· ἀλλ' ἁπλῶς καὶ ὡς ἔτυχεν·
ἡσθέντες καὶ ἀναπαυσάμενοι ἐπὶ τῇ τῶν λόγων ταπει-
νότητι· Ἔλεγεν οὖν ὁ Ἰ(ησοῦ)ς πρὸς τοὺς πεπιστευκότας
αὐτῷ Ἰουδαίους· ἐὰν ὑμεῖς μείνητε ἐν τῷ λόγῳ τῷ ἐμῷ·
ἀληθῶς μαθηταί μου ἐστέ· καὶ γνώσεσθε τὴν ἀλήθειαν· καὶ ἡ ἀλή-
θεια ἐλευθερώσει ὑμᾶς· ἀπεκρίθησαν αὐτῷ· σπέρμα
ἀβραάμ ἐσμεν καὶ οὐδενὶ δεδουλεύκαμεν πώποτε·
πῶς σὺ λέγεις ὅτι ἐλεύθεροι γενήσεσθε· ἀπεκρίθη
αὐτοῖς ὁ Ἰ(ησοῦ)ς· ἀμὴν ἀμὴν λέγω ὑμῖν· ὅτι πᾶς ὁ ποιῶν
τὴν ἁμαρτίαν δοῦλός ἐστι τῆς ἁμαρτίας· ὁ δὲ δοῦλος
οὐ μένει ἐν τῇ οἰκίᾳ εἰς τὸν αἰῶνα· ὁ υἱὸς μένει εἰς τὸν
αἰῶνα· Ὅτι δὲ οὐ δεόντως παρεδέξαντο τὴν δι-
δασκαλίαν ὡς δέον κἀντεῦθεν δῆλον· ἔλεγεν γάρ φησιν
ὁ Ἰ(ησοῦ)ς πρὸς τοὺς πεπιστευκότας αὐτῷ Ἰουδαίους· ἐὰν
ὑμεῖς μείνητε ἐν τῷ λόγῳ τῷ ἐμῷ· καὶ τὰ ἑξῆς·
ταῦτα δὲ διελέγξαι βουλόμενος ἐμφαίνει τὴν ἀσθενῆ
πίστιν αὐτῶν· διασείων τὴν ψυχὴν πλήττει
καὶ στερροῖς λόγοις· τί οὖν οἱ ἀλαζόνες· σπέρμα
ἀβραάμ φησίν ἐσμεν· καὶ οὐδενὶ δεδουλεύκα-
μεν πώποτε· καὶ τὰ ἑξῆς ὁ δὲ λέγουσιν· τοιοῦτόν
ἐστιν· δουλεύειν ἐκαλέσας τοῖς ἀπογόνοις τοῦ ἀβρα-
ὰμ τοῖς εὐγενεῖς· τοιαῦτα γὰρ τῶν Ἰουδαίων τὰ
καυχήματα· οὐδαμοῦ τῶν οἰκείων κατορθωμάτων
μέμνηνται· ἀλλὰ τοῦ σπέρματος· διατοῦτο καὶ ὁ
[illegible] πρὸς αὐτοὺς ἔλεγεν· μὴ δόξητε λέγειν
ὅτι πατέρα ἔχομεν τὸν ἀβραάμ· οὐκ ἐκάλεσεν δὲ αὐτοὺς
ὁ Χ(ριστὸ)ς· ὅτι πολλάκις δουλεύσαντας· καὶ γὰρ καὶ αἰ-
γυπτίοις καὶ βαβυλωνίοις· καὶ ἑτέροις πολλοῖς
ἐδούλευσαν· ἐπειδὴ οὐ τοῦτο ἐσπούδαζεν δεῖξαι
δούλους ἀνθρώπων γεγενημένους· ἀλλὰ τὴν τῆς ἁμαρτί-
ας ἥτις ἐστὶν καὶ χαλεπωτάτη δουλεία· διὸ καὶ

ὅταν ὑψώσητε τὸν υἱὸν τοῦ ἀνου· τότε γνώσεσθε ὅτι
ἐγώ εἰμι· καὶ ἀπ' ἐμαυτοῦ ποιῶ οὐδέν· ἀλλὰ καθὼς
ἐδίδαξέ με ὁ πατήρ μου ταῦτα λαλῶ· καὶ ὁ πέμψας με
μετ' ἐμοῦ ἐστιν· οὐκ ἀφῆκέ με μόνον ὁ πατὴρ ὅτι
ἐγὼ τὰ ἀρεστὰ αὐτοῦ ποιῶ πάντοτε· ταῦτα αὐτοῦ
(χρ) λαλοῦντος· πολλοὶ ἐπίστευσαν εἰς αὐτόν· ὅπερ
δὲ φησὶν ὅτι ὅταν ὑψώσητε τὸν υἱὸν τοῦ ἀνου· τότε
γνώσεσθε ὅτι ἐγώ εἰμι· τοῦτο σημαίνει· ὅτι ὅτε ὑ
μεῖς προσδοκᾶτε ἀπαλλαγῆς τυχεῖν μου· καὶ ἀναι
ρήσειν· τότε μάλιστα εἴσεσθε· ὅτι ἐγώ εἰμι ὁ χς ὁ τοῦ θυ
ὁ πάντα φέρων· καὶ ἄγων· γνώσεσθε δὲ· ἀπὸ τῶν
σημείων· καὶ τῆς ἀναστάσεως· καὶ τῆς ἀλώσεως (χρ)
τῆς ὑμετέρας· τὸ δὲ ἀπ' ἐμαυτοῦ οὐ λαλῶ οὐδέν·
καὶ τὰ ἑξῆς· τὸ ἀπαράλλακτον τῆς οὐσίας δηλοῖ·
καὶ ὅτι οὐδὲν ἐκτὸς τῶν πατρικῶν ῥημάτων
φθέγγεται· καὶ ἵνα μὴ νομίσωσιν τὸ ἀπαγόμενον· οἷον
τὸ ὁ πέμψας με ἐλαττώσεως εἶναι· προστίθησιν
λέγων· μετ' ἐμοῦ ἐστιν· τοῦτο μὲν γὰρ τῆς θεότη
τός ἐστιν· ἐκεῖνο δὲ τῆς οἰκονομίας· ἐπειδὴ δὲ
διὰ τῶν ταπεινῶν αὐτοῦ λόγων πολλοὶ ἔμελλο
πιστεύειν· πάλιν ἐπὶ τὸ ταπεινότερον τὸν λόγον
κατάγων· λέγει· οὐκ ἀφῆκέ με μόνον ὁ πατήρ· ὅτι
ἐγὼ τὰ ἀρεστὰ αὐτῷ ποιῶ πάντοτε· δεικνὺς ἐν τού
τῳ ὅτι καὶ τὸ λῦσαι τὸ σάββατον ἀρεστὸν αὐτῷ ἐστιν·
ὅπερ δὲ ἔφην ὅτι διὰ τῶν ταπεινῶν αὐτοῦ λόγων
πολλοὶ ἔμελλον πιστεύειν· τοῦτο δηλῶσαι θέλων ὁ
εὐαγγελιστὴς ἐπήγαγεν λέγων· ταῦτα αὐτοῦ λα
λήσαντος πολλοὶ ἐπίστευσαν εἰς αὐτόν· μονονουχὶ
κράζων ὅτι μὴ θορυβοῦ ὦ ἀκροατὰ ἐὰν ταπεινὸν
ἀκούσῃς· διὰ γὰρ τὴν ἀσθένειαν τῶν ἀκουόντων·
οὕτως ταῦτα εἴρηται· ἵνα πιστεύσωσιν· ἐπίστευσαν

ἔργα τοῦ ἀβραὰμ ἐποιεῖτε· νῦν δὲ ζητεῖτέ με
ἀποκτεῖναι ἄνθρωπον· ὃς τὴν ἀλήθειαν ὑμῖν λελάληκα.
ἣν ἤκουσα παρὰ τοῦ θεοῦ· τοῦτο ἀβραὰμ οὐκ ἐποί-
ησεν. ὑμεῖς ποιεῖτε τὰ ἔργα τοῦ πατρὸς ὑμῶν· οἶδα γὰρ
φησὶν ὅτι σπέρμα ἀβραάμ ἐστε· ἀλλ' οὐ τοῦτό ἐστιν
τὸ ζητούμενον· ἀλλ' ἡ διὰ τῶν ἔργων πρὸς αὐτὸν
οἰκειότης. ἀφεὶς τοίνυν τὰ πάντα αὐτοὺς ἐλέγξαι
τὸν φόνον. τοῦτο ὃ μετὰ χεῖρας ποιεῖν ἐβούλοντο. ἦσ-
μα τὸν ἀνηλέγοντων· ζητεῖτέ με ἀποκτεῖναι· ὅτι
ὁ λόγος ὁ ἐμὸς οὐ χωρεῖ ἐν ὑμῖν· ἦ γὰρ καὶ ἐθαύμαζον
αὐτόν. ἀλλ' εὐθέως πάλιν μετετίθεντο· τί δέ
ἐστιν ὅ φησιν· ὅτι ἃ ἑώρακα παρὰ τοῦ
πατρός μου· ταῦτα λαλῶ καὶ τὰ ἑξῆς· ὥσπερ φησὶν
ἐγὼ καὶ ἀπὸ τῶν ῥημάτων· καὶ ἀπὸ τῆς ἀληθεί-
ας ἐμφαίνω τὸν πατέρα, οὕτως καὶ ὑμεῖς τὸν διάβο-
λον ἀπὸ τῶν πραγμάτων· ἐπειδὴ δὲ ἤκουον ἐκεῖ-
νοι ὅτι ὁ πατὴρ ἡμῶν ἀβραάμ ἐστιν, ἀποκρούεται
αὐτοὺς λέγων· ἦτε τέκνα τοῦ ἀβραὰμ κτλ. καὶ τὰ
ἑξῆς· συνεχῶς δὲ ἀπάγει αὐτοὺς τῆς πρὸς τὸν ἀβρα-
ὰμ συγγενείας. ὥστε μηδὲ ἐν ἐκείνοις τὰς ἐλπίδας
τῆς σωτηρίας ἔχειν· μηδὲ ἐν τῇ κατὰ φύσιν
συγγενείᾳ. ἀλλ' ἐν τῇ κατὰ προαίρεσιν· μετὰ
ταῦτα δὲ πάλιν τῆς φονικῆς αὐτῶν προαιρέσεως
λέγων· ζητεῖτέ με ἀποκτεῖναι· καὶ τὰ ἑξῆς· ὁ
πόσον συνεχῶς ὀνειδιζόμενοι ἐν τῷ πράγματι ἐλέγ-
χθῶσιν ὀργίζονται· ποίαν δὲ ἀλήθειαν λελάληκε;
ὅτι ἴσος ἐστὶν τῷ πατρί· διὰ γὰρ τοῦτο καὶ ἐζήτουν
αὐτὸν ἀποκτεῖναι· τὸ δὲ εἰπεῖν ὅτι τοῦτο ἀ-
βραὰμ οὐκ ἐποίησεν καὶ τὰ ἑξῆς δείκνυσιν αὐτοῖς
ὅτι οὐ μόνον τοῦ ἀβραὰμ οὐκ εἰσίν· ἀλλὰ καὶ διαβό-
λου τοῦ διαβόλου· ἤκουον οἱ ἐν αὐτοῖς· [illegible]

ἐπειδὴ γὰρ ἔλεγον· πᾶς ὁ ποιῶν τὴν ἁμαρτίαν, δοῦλός
ἐστι τῆς ἁμαρτίας. ὁ δὲ δοῦλος οὐ μένει ἐν τῇ οἰκί-
ᾳ εἰς τὸν αἰῶνα καὶ τὰ ἑξῆς. διὰ τούτων
τὰ διὰ τοῦ νόμου καταλύει... ἠρέμα. καὶ
κεφ. προτέροις χρόνοις. ἐὰν οὖν ὁ υἱὸς ὑμᾶς ἐλευ-
θερώσῃ, ὄντως ἐλεύθεροι ἔσεσθε. οἶδα ὅτι σπέρμα
Ἀβραάμ ἐστε· ἀλλὰ ζητεῖτέ με ἀποκτεῖναι, ὅτι
ὁ λόγος ὁ ἐμὸς οὐ χωρεῖ ἐν ὑμῖν. ἐγὼ ὃ ἑώρακα
παρὰ τοῦ πατρός μου λαλῶ· καὶ ὑμεῖς οὖν ὃ ἑωρά-
χο) κατε παρὰ τοῦ πατρὸς ὑμῶν ποιεῖτε. ἵνα γὰρ μὴ
ἐκεῖ ἀνατρέχωσιν καὶ λέγωσιν· θυσίας ἔχομεν
ἃς προσάγομεν ἐν Μωσεῖ, καθαίρειν ἡμᾶς ἀπαλλάξαι
δύνανται. διὰ τοῦτο ταῦτα ἐπήγαγεν. ἐπεὶ ποι
ἀνακολουθίαν ἔχειν τὰ εἰρημένα. δείκνυσιν
δὲ ἐνταῦθα καὶ τὸ ὁμότιμον αὐτοῦ τὸ πρὸς τὸν
πατέρα καὶ τὸ διάφορον δούλου καὶ ἐλευθέρου. ἡ γὰρ
παραβολὴ τοῦτο βούλεται. διατί δὲ περὶ ἁμαρ-
τημάτων διαλεγόμενος, οἰκίας ἐμνημόνευ-
σεν; δεικνὺς ὅτι ὥσπερ ἐπ' οἰκίας ὁ δεσπότης,
οὕτως πάντων αὐτὸς ἐξουσίαν ἔχει. τὸ γὰρ μένει,
τοῦτό ἐστιν, ὡς πατρῷα καὶ τὸ οὐ μένει, ἀντὶ τοῦ οὐκ
ἔχει ἐξουσίαν χαρίζεσθαι, ἅτε μὴ ὢν οἰκοδεσπό-
της. διὸ φησὶν μένει εἰς τὸν αἰῶνα. καὶ ταῦ-
τα δὲ τὸ ὁμοούσιον δηλοῖ. ἐπειδὴ γὰρ ἔλεγον· ἐὰν
οὖν ὁ υἱὸς ὑμᾶς ἐλευθερώσῃ, ὄντως ἐλεύθεροι ἔ-
σεσθε. ἁμαρτίας ἐλεύθεροι καὶ τοῦτο ἐμφαίνει. διὰ τὸ ἐλευ-
θέρους εἶναι· ὅτι αὕτη ἡ ἐλευθερία. οὐκ αὕτη
ἡ ἐλευθερία ταύτην... ἀλλὰ μέχρι προσηγορίας μόνης·
ἀπὸ τῆς ἁμαρτίας ἐλευθερίαν. καὶ ἄμοιροι δεδωκασιν τὴν ἐλευ-
κεφ. λέγει αὐτοῖς ὁ ἰς. εἰ τέκνα τοῦ Ἀβραάμ ἦτε, τὰ

ἐστίν· διατί δὲ οὐ γινώσκουσι λόγον τὸν ἐμφαίνει λέγων· ὅτι
ὑμεῖς ἐκ τοῦ πατρὸς τοῦ διαβόλου ἐστέ· καὶ τὰς ἐπιθυμίας
τοῦ πατρὸς ὑμῶν θέλετε ποιεῖν· καὶ οὐκ εἶπεν ἁπλῶς
τὰ ἔργα· ἀλλὰ τὰς ἐπιθυμίας αὐτοῦ ποιεῖτε· δη-
λῶν ὅτι σφοδρῶς καὶ οὗτοι καὶ ἐκεῖνος τοῖς φόνοις
χαίρουσιν· διὸ καὶ ἐπάγει· ἐκεῖνος ἀνθρωποκτόνος ἦν
ἀπ' ἀρχῆς· οὐκ ἀφῆκεν δὲ ἀμάρτυρον τὸν λόγον· ἀλλὰ
τεκμηρίοις κατασκευάζει τὸν ἔλεγχον· τὸ γὰρ χαίρειν
τοῖς φόνοις φησίν, τῆς ἐκείνου κακίας ἐστίν· καὶ ἐν τῇ
ἀληθείᾳ οὐχ ἕστηκεν· ὅτι ἡ ἀλήθεια οὐκ ἔστιν ἐν αὐτῷ·
διότι ἐκεῖνος ἔτεκεν τὸ ψεῦδος πρῶτος· τοῦτο δὲ
ἐποίησεν διὰ τὸ συνεχῶς αὐτοὺς κατηγορεῖν καὶ λέγειν·
ὅτι ἐκ τοῦ θεοῦ οὐκ ἔστιν· ὅταν λαλῇ τὸ ψεῦδος, ἐκ
τῶν ἰδίων λαλεῖ· ὅτι ψεύστης ἐστίν· καὶ ὁ πατὴρ αὐτοῦ·
ἐγὼ δὲ ὅτι τὴν ἀλήθειαν λέγω, οὐ πιστεύετέ μοι·
τίς ἐξ ὑμῶν ἐλέγχει με περὶ ἁμαρτίας· εἰ ἀλή-
θειαν λέγω, διατί ὑμεῖς οὐ πιστεύετέ μοι· ὁ ὢν ἐκ
τοῦ θεοῦ, τὰ ῥήματα τοῦ θεοῦ ἀκούει· διὰ τοῦτο ὑμεῖς
οὐκ ἀκούετε, ὅτι ἐκ τοῦ θεοῦ οὐκ ἐστέ· οἱ μὲν γὰρ ἄλλοι χρ
φησίν, οὐχ ὥσπερ χρῶνται τῷ ψεύδει ὡς ἰδίῳ· ἀλλ' ὡς
ἀλλοτρίῳ· οὗτος δὲ ὡς ἰδίῳ· διό φησιν· καὶ ὁ πατὴρ αὐτοῦ·
τουτέστιν τοῦ ψεύδους· αὐτὸς γὰρ πρῶτος ἔτεκεν τὸ
ψεῦδος ὅτε ἔλεγεν· ᾗ ἂν ἡμέρᾳ φάγητε, ἔσεσθε ὡς
θεοί· ὁ σωτὴρ δὲ φησίν· ἐγὼ δὲ ὅτι τὴν ἀλήθειαν λέγω
οὐ πιστεύετέ μοι· τοῦτό ἐστιν· οὐδὲν ἔχοντες ἐγκαλεῖν
μοι· ἀναιρεῖν με θέλετε· ἐπειδὴ γὰρ ἐχθροί ἐστε τῆς
ἀληθείας· διὰ τοῦτό με διώκετε· ἐπεὶ εἰ μὴ διὰ τοῦ-
το, εἴπατε τὸ ἔγκλημα· διὸ καὶ ἐπήγαγεν· τίς ἐξ ὑμῶν
ἐλέγχει με περὶ ἁμαρτίας· εἰ γὰρ μηδὲ αἰτιᾶσθαι
ἔχετέ τι τῶν λεγομένων· μηδὲ ἁμαρτήματι ἐνέ-
μοι θεωρεῖτε· διατί οὐ πιστεύετέ μοι· τοῦτο γὰρ δη-

πορνείας οὐ γεγεννήμεθα· ἕνα πατέρα ἔχομεν τὸν θν̄·
εἶπεν αὐτοῖς ὁ ἰς̄· εἰ ὁ θς̄ πατὴρ ὑμῶν ἦν, ἠγαπᾶτε
ἂν ἐμέ· ἐγὼ γὰρ ἐκ τοῦ θῦ ἐξῆλθον καὶ ἥκω· οὐδὲ
γὰρ ἀπ' ἐμαυτοῦ ἐλήλυθα ἀλλ' ἐκεῖνός με ἀπέστει-
λεν· διατί εἰπόντος αὐτοῦ ὅτι ἡμεῖς ἐκ πορ-
νείας οὐ γεγεννήμεθα· οὐκ ἐλέγχει αὐτούς· καὶ γὰρ
ἦσαν ἐκ πορνείας πολλοὶ αὐτῶν γεγεννημένοι·
διὰ τὸ ἀπροσηκούσας ἐπιμιξίας ποιήσασθαι·
διατί οὖν οὐκ ἐλέγχει αὐτούς· διὰ τὴν ἄφατον
αὐτοῦ φιλανθρωπίαν· καὶ ὅπως μὴ ἀναιδέστεροι γέ-
νωνται· ἐπειδὴ δὲ ὑπὲρ αὐτῶν ὡς καυχήματος ἐξήρ-
χοντο λέγοντες· ἕνα πατέρα ἔχομεν τὸν θν̄· τοῦτο
δὲ ἔλεγον σεμνυνόμενοι· ὡς παρὰ τὸν θν̄ ἐκδικοῦν-
τες· δείκνυσιν αὐτοὺς μᾶλλον ἐναντιουμένους
τῷ θῷ· ὅτι τὸν υἱὸν ἐδίωκον· λέγων πρὸς αὐτούς·
εἰ ὁ θς̄ πατὴρ ὑμῶν ἦν· ἠγαπᾶτε ἂν ἐμέ· ἐγὼ γὰρ
ἐκ τοῦ θῦ ἐξῆλθον· καὶ ἥκω· τὸ δὲ ἐξῆλθον τὴν
πρὸς ἡμᾶς αὐτοῦ ἄφιξιν δηλοῖ· οὐδὲ γὰρ ἀπ' ἐ-
μαυτοῦ ἐλήλυθα ἀλλ' ἐκεῖνός με ἀπέστειλε φησί·
τοῦτο δὲ εἶπεν· τοῖς πονηροῖς αὐτῶν διαλογισμοῖς
ἐκκόψαι ἀπολογούμενος· ὅτι ὑπεβάλλοντο ἐξ ἐναντίας
λέγειν αὐτὸν καὶ ἕτερα ὡς παρὰ τοῦ θῦ ἥκειν· διὰ τοῦ-
το καὶ ἐπάγει λέγων· διατί τὴν λαλιὰν
τὴν ἐμὴν οὐ γινώσκετε· ὅτι οὐ δύνασθε ἀκούειν
τὸν λόγον τὸν ἐμόν· ὑμεῖς ἐκ τοῦ πρς̄ τοῦ διαβόλου
ἐστέ· καὶ τὰς ἐπιθυμίας τοῦ πρς̄ ὑμῶν θέλετε
ποιεῖν· ἐκεῖνος ἀνθρωποκτόνος ἦν ἀπ' ἀρχῆς·
καὶ ἐν τῇ ἀληθείᾳ οὐχ ἕστηκεν· ὅτι ἀλήθεια οὐκ ἔσ-
τιν ἐν αὐτῷ· τίνος ἕνεκεν; διὰ τὸ χαμαίζηλον
τῆς διανοίας ὑμῶν φησίν· καὶ τὸ πολὺ μὴ δύνασθαι
ταῦτα μαθεῖν· ἐνταῦθα δὲ τὸ μὴ δύνασθαι· τὸ μὴ βούλεσθαι

ἐκείνου [illegible] μᾶλλον· ἔστιν ὁ ζητῶν καὶ κρίνων·
τὰ δὲ· ἐάν τις ἐμοῦ τὸν λόγον τηρήσῃ καὶ τὰ ἑξῆς·
οὐ τὴν πίστιν μόνον ἐνταῦθα δηλοῖ τὴν εἰς
αὐτόν· ἀλλὰ καὶ τὸν βίον τὸν καθαρόν· ἅμα δὲ
καὶ αἰνίττεται· ὅτι οὐδὲν δύναται αὐτὸν ποιῆ-
σαι· ἐκεῖνος γὰρ τὸν λόγον αὐτοῦ τηρῶν οὐκ ἀποθανεῖται,
πολλῷ μᾶλλον αὐτός· εἶπον οὖν αὐτῷ
Οἱ Ἰουδαῖοι· νῦν ἐγνώκαμεν ὅτι δαιμόνιον ἔχεις·
Ἀβραὰμ ἀπέθανεν· καὶ οἱ προφῆται καὶ σὺ
λέγεις· ἐάν τις τὸν λόγον μου τηρήσῃ· οὐ μὴ γεύ-
σεται θανάτου εἰς τὸν αἰῶνα· μὴ σὺ μείζων εἶ τοῦ
πατρὸς ἡμῶν Ἀβραάμ. ὅστις ἀπέθανεν καὶ οἱ
προφῆται ἀπέθανον; τίνα σεαυτὸν ποιεῖς· ἀπε-
κρίθη Ἰησοῦς· ἐὰν ἐγὼ δοξάζω ἐμαυτόν. ἡ δόξα μου
οὐδέν ἐστιν· ὁ πατήρ μου ὁ δοξάζων με, ὃν ὑμεῖς
λέγετε ὅτι θεὸς ἡμῶν ἐστιν· καὶ οὐκ ἐγνώκατε αὐτόν·
ἐγὼ δὲ οἶδα αὐτόν· καὶ ἐὰν εἴπω ὅτι οὐκ οἶδα αὐτόν·
ἔσομαι ὅμοιος ὑμῶν ψεύστης· ἀλλ' οἶδα αὐτόν
καὶ τὸν λόγον αὐτοῦ τηρῶ· ὃ δὲ λέγει τοιοῦτον·
τοῦτό ἐστιν· οἱ τὸν λόγον τοῦ θεοῦ ἀκούσαντες ἀπέ-
θανον· καὶ οἱ τὸν σὸν ἀκούοντες οὐκ ἀποθανοῦνται;
μὴ γὰρ σὺ φησὶν μείζων εἶ τοῦ πατρὸς ἡμῶν Ἀβρα-
άμ; τὸ δὲ τίνα σεαυτὸν ποιεῖς. [illegible]
καὶ τοῦτο εἶπον· ὥσπερ εἰ ἔλεγον· σὺ χαρίζῃ σεαυτῷ·
διὸ καὶ ὁ χριστὸς πρὸς τοῦτο φησίν· ἐὰν ἐγὼ δοξάζω ἐ-
μαυτόν. ἡ δόξα μου οὐδέν ἐστιν· τοῦτο δὲ πρὸς
τὴν ἐκείνων εἶπεν ὑπόνοιαν· ὥσπερ καὶ ἡ μαρ-
τυρία μου οὐκ ἔστιν ἀληθής· δηλοῖ δέ· ὅτι οὐ μό-
νον παρ' αὐτοῦ οὐ [illegible]· ἀλλ' οὐδὲ παρ' ἐκεί-
νων λεγόμενον· ἔστιν ὁ πατήρ μου ὁ δοξάζων με, ὃν
ὑμεῖς λέγετε ὅτι θεὸς ἡμῶν ἐστιν· καὶ οὐκ οἴδατε

μαίνεσθε· εἰ δὲ τὴν ἀλήθειαν λέγω, διὰ τί οὐ
πιστεύετέ μοι. ὁ γὰρ ὢν φησὶν ἐκ τοῦ θεοῦ, τὰ ῥήματα
τοῦ θεοῦ ἀκούει· διὰ τοῦτο δὲ ὑμεῖς οὐκ ἀκούετε
φησὶν ὅτι ἐκ τοῦ θεοῦ οὐκ ἐστέ. ἀπεκρίθησαν
οὖν οἱ Ἰουδαῖοι καὶ εἶπον αὐτῷ· οὐ καλῶς λέγομεν
ἡμεῖς ὅτι Σαμαρείτης εἶ σὺ καὶ δαιμόνιον ἔχεις;
Ὀφείλοντες δὲ ἐπὶ τοῖς ῥηθεῖσι κατανυγῆναι,
θαυμάσαι τε τὴν παρρησίαν, καὶ τὴν τῶν
ῥημάτων ἀκολουθίαν, ἀμφοτέρων καὶ ὑβρίζου-
σι· Σαμαρείτην αὐτὸν ἀποκαλοῦντες· καὶ
δαιμόνιον ἔχοντα. οὐδαμοῦ δὲ τοῦ εὐαγγελιστοῦ
ἔμπροσθεν εἰρηκότος ὅτι Σαμαρείτην αὐτὸν
ἐκάλεσαν, πῶς αὐτοί φασιν οὐ καλῶς ἐλέγομεν;
δῆλον οὖν ὅτι πολλάκις εἶπον αὐτῷ τοῦτο. ὁ δὲ
πρᾶος καὶ ἀνεξίκακος· ἐνταῦθα μὲν διελέγξαι
αὐτοὺς ἐχρῆν καὶ τὸν πολὺν αὐτῶν καταπαῦ-
σαι τῦφον καὶ παιδεῦσαι μὴ μεγαλοφρονεῖν ἐπὶ
τῷ Ἀβραάμ, σφοδρὸς ἦν· ἐνταῦθα δὲ ὑβριζόμε-
νον ἐπιεικεῖν ἔδει. πολλῇ πραότητι κέχρη-
ται, παιδεύων ἡμᾶς· τὰ μὲν εἰς τὸν θεὸν ἐκδικεῖν·
τὰ δὲ εἰς ἡμᾶς, παρορᾶν. ἀπεκρίθη Ἰησοῦς·
ἐγὼ δαιμόνιον οὐκ ἔχω, ἀλλὰ τιμῶ τὸν πατέρα μου·
καὶ ὑμεῖς ἀτιμάζετέ με. ἐγὼ δὲ οὐ ζητῶ τὴν δό-
ξαν μου· ἔστιν ὁ ζητῶν καὶ κρίνων. ἀμὴν ἀμὴν
λέγω ὑμῖν· ἐάν τις τὸν λόγον τὸν ἐμὸν τηρήσῃ·
θάνατον οὐ μὴ θεωρήσῃ εἰς τὸν αἰῶνα. ταῦτα
εἶπεν φησὶν ὁ κύριος ὅτι οὐ προσῆκεν ὑμῖν τὸν
θεὸν καὶ πατέρα ἀνδροφόνοις οὖσι ...
τιμὴν ... προσέχειν ... ταῦτα ἀκούσασι καὶ διὰ
μὲν ἀτιμάζετέ με. ἐμφαίνων δὲ ὅτι ἐκεῖνοι ...
θῶσιν ὀφείλουσι τὸν λεχθέντα ... διὸ ταῦτα

ἠρώτησαν αὐτὸν οἱ μαθηταὶ αὐτοῦ λέγοντες·
τίς ἥμαρτεν, οὗτος ἢ οἱ γονεῖς αὐτοῦ, ἵνα τυφλὸς
γεννηθῇ. διατί θεραπεύει; ὅτι εὐθέως τὸν (χρ)
τυφλὸν ἐκ τοῦ ἱεροῦ ἐξελθών· ἵνα σιωπῇ καὶ ἀπουσίᾳ
καὶ τῇ τοῦ σημείου ἐργασίᾳ τὸ σκληρὸν αὐτῶν
καὶ ἀπηχθὲς καταμαλάξῃ καὶ ἀμαθὲς καὶ τὸν θυμὸν
ἠρεμοῦντας πείσασθαι βουλόμενος. ὅτι γὰρ
ἐπίτηδες ἐπὶ τὸ ἔργον τοῦτο ἐξῆλθε, δῆλον ἐκεῖ-
θεν· οὗτος γὰρ αὐτὸς σπουδαίως ἐνέβλεψε, καὶ
καὶ τοὺς μαθητὰς ἐπὶ τοῦτο ἐπὶ τὴν ἐρώτησιν
ἐλθεῖν· ζητοῦν γὰρ αὐτόν φησιν· τίς ἥμαρτεν οὗτος
ἢ οἱ γονεῖς αὐτοῦ, ἵνα τυφλὸς γεννηθῇ; καίτοι γε ἐσφαλ-
μένη ἡ ἐρώτησις· πῶς γὰρ ἂν ἥμαρτεν οὗτος
πρὶν γεννηθῆναι; πῶς δὲ τῶν γονέων ἁμαρτόν-
των αὐτὸς ἐκολάσθη; πόθεν οὖν ἦλθον ἐπὶ τὴν
ἐρώτησιν ταύτην· ἀπὸ τοῦ παραλυτικοῦ· ἐπει-
δὴ γὰρ θεραπεύσας αὐτὸν ἔλεγεν· ἴδε ὑγιὴς
γέγονας, μηκέτι ἁμάρτανε. τοῦτο ἐννοήσαντες
οὗτοι ὅτι ἐκεῖνος δι' ἁμαρτίας παρελύθη, λέ-
γουσιν· ἐκεῖνος δι' ἁμαρτήματα παρε-
λύθη· περὶ τούτου τί ἂν φαίης; αὐτὸς ἥμαρτεν;
ἀλλ' οὐκ ἔστιν εἰπεῖν· ἐκ γενετῆς γάρ ἐστι τυ-
φλός. ἀλλ' οἱ γονεῖς αὐτοῦ; ἀλλ' οὐδὲ τοῦτο· παῖς γὰρ
ὑπὲρ πατρὸς οὐ δίδωσι δίκην. οὐ τοσοῦτον οὖν
ἐρωτῶντες τοῦτο ἔλεγον, ὅσον δὴ ἀπορούντων. διὸ αὐτός
κεῖ φησίν· ἀπεκρίθη ὁ Ἰησοῦς· οὔτε οὗτος ἥμαρτεν οὔτε οἱ
γονεῖς αὐτοῦ, ἀλλ' ἵνα φανερωθῇ τὰ ἔργα τοῦ θεοῦ ἐν
αὐτῷ. ἐμὲ δεῖ ἐργάζεσθαι τὰ ἔργα τοῦ πέμψαντός με
ἕως ἡμέρα ἐστίν· ἔρχεται νύξ, ὅτε οὐδεὶς δύναται
ἐργάζεσθαι. ὅταν ἐν τῷ κόσμῳ ὦ, φῶς εἰμι τοῦ κόσμου.
(χρ) οὐχ ἁμαρτήματα γονέων δὲ αὐτοῖς ἀναλαμβάνων τοῦτό φησι·

αὐτόν· ἐγὼ δὲ οἶδα αὐτὸν καὶ τὸν λόγον αὐτοῦ τηρῶ·
ὅπερ μεγίστη ἀπόδειξις ἦν τοῦ παρ᾽ ἐκείνου ἀπε-
στάλθαι, τὸ τηρεῖν αὐτοῦ τὰς ἐντολάς· Ἀβραὰμ
ὁ πατὴρ ὑμῶν ἠγαλλιάσατο ἵνα ἴδῃ τὴν ἡμέραν
τὴν ἐμήν· καὶ εἶδεν καὶ ἐχάρη· εἶπον οὖν οἱ Ἰου-
δαῖοι πρὸς αὐτόν· πεντήκοντα ἔτη οὔπω ἔχεις
καὶ Ἀβραὰμ ἑώρακας; ἡμέραν ἐνταῦθα λέγει
τὴν τοῦ σ(ταυ)ροῦ· ἣν ἐν τῇ προσφορᾷ τῇ τοῦ Ἰσαὰκ
προδιετύπωσεν· ἐπειδὴ δὲ ὡς εὐφρανθέντα
διὰ τὸν σ(ταυ)ρὸν τὸν Ἀβραὰμ, δεῖξαι θέλοντες ὅτι οὐ
καλῶς ἐπὶ τὸ πάθος ἔρχεται· ἐπεὶ δὲ ἐγγὺς
τοὺς πεντήκοντα ἐτῶν ἐνόμιζον εἶναι λοιπὸν
τὸν Χ(ριστὸ)ν, ὄντα περίπου τριάκοντα τριῶν, εἶπον·
πεντήκοντα ἔτη οὔπω ἔχεις καὶ Ἀβραὰμ ἑώ-
τέλ ρακας; εἶπεν αὐτοῖς ὁ Ἰ(ησοῦ)ς· ἀμὴν ἀμὴν λέγω
ὑμῖν· πρὶν Ἀβραὰμ γενέσθαι ἐγώ εἰμι· ἦραν οὖν
λίθους ἵνα βάλωσιν ἐπ᾽ αὐτόν· Ἰ(ησοῦ)ς δὲ ἐκρύβη
καὶ ἐξῆλθεν ἐκ τοῦ ἱεροῦ διελθὼν διὰ μέσου
(ἀρχ) αὐτῶν καὶ παρῆγεν οὕτως· διὰ τί δὲ μὴ εἶ-
πεν ἤμην· ἀλλ᾽ εἰμί, πρὶν Ἀβραὰμ γενέσθαι·
ἐπὶ δὲ Μωσέως ὥσπερ ὁ π(ατ)ὴρ αὐτοῦ ταύτῃ κέχρηται τῇ
λέξει· ἐγώ εἰμι, οὕτω καὶ αὐτός· καὶ γὰρ τοῦ δι-
ηνεκῶς εἶναι τυγχάνει σημαντικόν· παντὸς ἀ-
πηλλαγμένη χρόνου· διὸ καὶ βλάσφημον αὐτοῖς
ἔδοξεν εἶναι τὸ ῥῆμα· ἦραν γάρ φησι λίθους
ἵνα βάλωσιν ἐπ᾽ αὐτόν· οὕτως ἕτοιμοι πρὸς φό- τέλ
νους ἦσαν· καὶ διὰ ἑαυτοὺς ταῦτα ἔπραττον· ὁ δὲ
ἐκρύβη καὶ ἐξῆλθεν ἐκ τοῦ ἱεροῦ· ἀνθρωπίνως
τέλ πάλιν ποιεῖ· κἀν ἡμῖν διδασκαλίαν παραθέ-
μενος· καὶ τὰ αὐτοῦ πάντα πληρώσας· ἀπαραθέ-
ρατος ὁ Ἰ(ησοῦ)ς· ἐξελθὼν πάντα πληρώσας· καὶ τὸν
ἐκ γενετῆς τυφλὸν εὐεργετήσας· καὶ

(ἀρχ)

οὐδεὶς γὰρ τότε ἁμαρτίας ἐργάτης δύναται· ὥσπερ
οὐδὲ ἐν σκότει τις ἀνύει τὸ ἔργον· τί δήποτε δὲ ὁ
Παῦλος νύκτα μὲν τὸν παρόντα αἰῶνα καλεῖ· ἡ-
μέραν δὲ ἐκεῖνον· καὶ γάρ φησιν· ἡ νὺξ προέκο-
ψεν· ἡ δὲ ἡμέρα ἤγγικεν· οὐκ ἐναντιούμενος τῷ Χριστῷ.
νύκτα γὰρ τὸν παρόντα αἰῶνα καλεῖ· ἡ δὲ ἰδία τὸ παρα-
καλεῖν αὐτὸν τὴν ἡμέραν ἐκείνην· ἡ δὲ ἰδία τοὺς ἐν σκότει
ζῶντας τοὺς ἐν κακίᾳ διατρίβοντας. Καὶ ἀπεικά-
ταῦτα εἰπὼν ἔπτυσε χαμαί· καὶ ἐποίησε πηλὸν ἐκ
τοῦ πτύσματος· καὶ ἐπέχρισεν αὐτοῦ τὸν πηλὸν ἐπὶ
τοῖς ὀφθαλμοῖς τοῦ τυφλοῦ· καὶ εἶπεν αὐτῷ· ὕπαγε
νίψαι εἰς τὴν κολυμβήθραν τοῦ Σιλωάμ· ὃ ἑρμηνεύ-
εται ἀπεσταλμένος· ἀπῆλθεν οὖν καὶ ἐνίψατο
καὶ ἦλθε βλέπων. ταῦτα φησὶν ἐποίησεν ἵνα
ποιῶν ταῦτα ἵνα φανερωθῇ ἡ δόξα τοῦ θεοῦ· ὅτι δεῖ με
ἐργάζεσθαι τὰ ἔργα τοῦ πέμψαντός με· οὐ γὰρ ἁπλῶς
[illegible] τοὺς [illegible] ὁ εὐαγγελιστὴς [illegible]
λαλεῖ [illegible] ὅτι τὸν λόγον διὰ τῶν ἔργων ἐπιστώσατο.
ἔπτυσεν δὲ χαμαί· καὶ ἐποίησε πηλὸν ἐκ τοῦ πτύσματος·
καὶ ἐπέχρισεν τὸν πηλὸν ἐπὶ τοῖς ὀφθαλμοῖς τοῦ τυ-
φλοῦ· δεικνύμενος διὰ τοῦ πηλοῦ· ὅτι αὐτός
ἐστιν ὁ καὶ τὸν Ἀδὰμ ἀπὸ πηλοῦ πλάσας· τὸ μὲν γὰρ
εἰπεῖν ὅτι ἐγώ εἰμι ὁ τοῦτο ποιήσας, πρόσαντες
ἐδόκει εἶναι τοῖς ἀκούουσιν· διὰ δὲ τοῦ ἔργου δη-
λούμενον τοῦτο· οὐκέτι λοιπὸν προσίστατο· διὰ
τοῦτο οὐχ ἁπλῶς ἀλλ' ἐδείξατο καὶ τὸ [illegible]
[illegible] οὐκ ἔπλασεν δὲ μόνον· οὐδὲ
ἀνέῳξεν, ἀλλ' ὡς καὶ τὸ ὁρᾶν ἐχαρίσατο· [illegible]
[illegible] τοῦ καὶ τὴν ψυχὴν αὐτοῦ [illegible]
[illegible]
Καὶ ἀπηρτισμένος ἦν· [illegible]

